Β΄ Οἱ Ἀθηναῖοι, ἀπὸ τῆς Σηστοῦ **ἐπισιτισάμενοι** (προμηθευθέντες τροφάς), εὐθὺς ἔπλευσαν εἰς Αἰγὸς ποταμοὺς ἀντίον (ἀπέναντι) τῆς Λαμψάκου· διεῖχε (εἶχε πλάτος) δὲ ὁ Ἑλλήσποντος ταύτῃ (εἰς αὐτὸ τὸ μέρος) σταδίους ὡς (περίπου) πεντεκαίδεκα. Ἐνταῦθα δὴ (λοιπὸν) **ἐδειπνοποιήσαντο** (ἐδείπνησαν). Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτὶ (κατὰ τὴν ἑπομένην νύκτα) ἐσήμηνεν εἰς τὰς ναῦς **ἀριστοποιησαμένους** (ἀφοῦ προγευματίσωσιν) εἰσβαίνειν· ἐπεὶ δὲ πάντα **παρεσκευάσατο** ὡς εἰς ναυμαχίαν προεῖπεν, ἵνα μηδεὶς **κινήσοιτο** (νὰ μὴ κινηθῇ κανεὶς) ἐκ τῆς τάξεως (ἀπὸ τὴν θέσιν του), μηδὲ **ἀνάξοιτο** (καὶ νὰ μὴ ἀποπλεύσῃ). Οἱ δὲ Ἀθηναῖοι *ἅμα τῷ ἡλίῳ ἀνέχοντι* ἐπὶ τῷ λιμένι (εἰς τὴν εἴσοδον τοῦ λιμένος), **παρετάξαντο** ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄

Κλίσις οὐσιαστικῶν φωνηεντολήκτων.

§ 143. Τὰ φωνηεντόληκτα οὐσιαστικὰ ἔχουσι θέμα λῆγον ἐν τῇ ὀνομαστικῇ τοῦ ἑνικοῦ εἰς ἓν ἐκ τῶν φωνηέντων **ι, υ, ο, ω,** ἢ εἰς μίαν ἐκ τῶν διφθόγγων **ευ, αυ, ου.**

α΄) Θέματα εἰς ι.

§ 144. Τὰ φωνηεντόληκτα εἰς **ι** οὐσιαστικὰ εἶναι ἀρσενικά, θηλυκὰ καὶ οὐδέτερα.

Ἐκ τούτων τὰ μὲν ἀρσενικὰ καὶ θηλυκὰ ἐσχημάτισαν τὴν ὀνομαστικὴν τοῦ ἑνικοῦ διὰ τῆς προσλήψεως τοῦ **ς** εἰς τὸ θέμα, τὰ δὲ οὐδέτερα ὁμοίαν μὲ τὸ θέμα.

§ 145. Ἐκ τῶν ἐχόντων θέμα εἰς **ι** οὐσιαστικῶν τὸ **τύρσις** (πύργος) μόνον ἐν τῷ ἑνικῷ καί τινα κύρια, ὡς

τὸ ***Συέννεσις, Ἄμασις,*** ἐφύλαξαν τὸ **ι** εἰς πάσας τὰς πτώσεις καὶ τοὺς ἀριθμούς.

Πάντα τὰ λοιπὰ ἔτρεψαν εἰς τὴν γενικὴν καὶ δοτικὴν τοῦ ἑνικοῦ καὶ εἰς τὸν πληθυντικὸν τὸ **ι** εἰς **ε.**

Ἡ γενικὴ τοῦ ἑνικοῦ τούτων λήγει εἰς **ως.**

§ 146. Τὸ **ε** τοῦ θέματος ἐν μὲν τῇ δοτικῇ τοῦ ἑνικοῦ συνῃρέθη μετὰ τοῦ **ι** τῆς καταλήξεως εἰς **ει,** ἐν δὲ τῇ ὀνομαστικῇ τοῦ πληθυντικοῦ μετὰ τοῦ **ες** εἰς **εις.**

Ἡ αἰτιατικὴ τοῦ ἑνικοῦ πάντων τῶν εἰς **ι** ἀρσενικῶν καὶ θηλυκῶν οὐσιαστικῶν λήγει εἰς **ν**· ἡ δὲ αἰτιατικὴ τοῦ πληθυντικοῦ εἶναι ὁμοία μὲ τὴν ὀνομαστικήν.

Ἡ κλητικὴ τοῦ ἑνικοῦ πάντων τῶν εἰς **ι** οὐσιαστικῶν εἶναι ὁμοία μὲ τὸ εἰς **ι** θέμα.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ον.	ἡ	τύρσις	πρᾶξις	τὸ	πέπερι
Γεν.	τῆς	τύρσι-ος	πράξε-ως	τοῦ	πεπέρε-ως
Δοτ.	τῇ	(τύρσι)	πράξ(ε-ῐ)ει	τῷ	πεπέρ(ε-ῐ)ει
Αἰτ.	τὴ	τύρσιν	πρᾶξιν	τὸ	πέπερι
Κλ.	ὦ	τύρσι	πρᾶξι	ὦ	πέπερι

Πληθυντικὸς ἀριθμός.

Ον.	αἱ	τύρσ(ε-ες)εις	πράξ(ε-ες)εις
Γεν.	τῶν	τύρσε-ων	πράξε-ων
Δοτ.	ταῖς	τύρσεσι(ν)	πράξεσι(ν)
Αἰτ.	τὰς	τύρσεις	πράξεις
Κλ.	ὦ	τύρσεις	πράξεις

β΄) Θέματα εἰς υ.

§ 147. Καὶ τὰ ἔχοντα θέμα εἰς **υ** οὐσιαστικὰ εἶναι ἀρσενικά, θηλυκὰ καὶ οὐδέτερα καὶ ἐσχημάτισαν τὴν

SISMANOGLIO MEGARO

ἑνικὴν ὀνομαστικὴν καὶ κλητικὴν ὡς καὶ τὰ εἰς **ι** (ἴδε § 145).

§ 148. Ταῦτα, ἀντιθέτως πρὸς τὰ εἰς **ι**, διετήρησαν τὸ **υ** εἰς πάσας τὰς πτώσεις καὶ τοὺς ἀριθμούς.

Ἡ γενικὴ τοῦ ἑνικοῦ τούτων λήγει εἰς **ος**.

§ 149. Τὰ οὐσιαστικὰ **πῆχυς, πέλεκυς, ἄστυ** καὶ ὁ πληθυντικὸς τοῦ **ἔγχελυς** ἔτρεψαν τὸ **υ** εἰς **ε** ἐν τῇ γενικῇ καὶ δοτικῇ τοῦ ἑνικοῦ καὶ εἰς τὸν πληθυντικόν.

Ταῦτα κλίνονται κατὰ τὰ ἀνωτέρω εἰς **ις** γεν. **εως** οὐσιαστικά.

§ 150. Ἡ μὲν ἑνικὴ αἰτιατικὴ τῶν εἰς **υ** λήγει εἰς **ν**· ἡ δὲ πληθυντικὴ λήγει εἰς **ς**.

Ἡ ἑνικὴ αἰτιατικὴ τῶν μονοσυλλάβων εἰς **υ** περισπᾶται· ἡ δὲ αἰτιατικὴ πληθυντικὴ πάντων τῶν εἰς **υ**, ὅταν τονίζηται, περισπᾶται.

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	βότρυς	ἰχθύς	ἡ	δρῦς
Γεν.	τοῦ	βότρυ-ος	ἰχθύ-ος	τῆς	δρυ-ὸς
Δοτ.	τῷ	βότρυ-ϊ	ἰχθύ-ϊ	τῇ	δρυ-ΐ
Αἰτ.	τὸν	βότρυν	ἰχθύν	τὴν	δρῦν
Κλ.	ὦ	βότρυ	ἰχθύ	ὦ	δρῦ

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	βότρυ-ες	ἰχθύ-ες	αἱ	δρύ-ες
Γεν.	τῶν	βοτρύων	ἰχθύ-ων	τῶν	δρυ-ῶν
Δοτ.	τοῖς	βότρυ-σι(ν)	ἰχθύ-σι	ταῖς	δρυ-σὶ(ν)
Αἰτ.	τοὺς	βότρυ-ς	ἰχθῦ-ς	τὰς	δρῦ-ς
Κλ.	ὦ	βότρυ-ες	ἰχθύ-ες	ὦ	δρύ-ες

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	πῆχυς	πέλεκυς	τὸ	ἄστυ
Γεν.	τοῦ	πήχε-ως	πελέκε-ως	τοῦ	ἄστε-ως
Δοτ.	τῷ	πήχ(ε-ϊ)ει	πελέκ(ε-ϊ)ει	τῷ	ἄστ(ε-ϊ)ει
Αἰτ.	τὸν	πῆχυν	πέλεκυν	τὸ	ἄστυ
Κλ.	ὦ	πῆχυ	πέλεκυ	ὦ	ἄστυ

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	πήχ(ε-ες)εις	πελέκ(ε-ες)εις	τὰ	ἄστ(ε-α)η
Γεν.	τῶν	πήχε-ων	πελέκε-ων	τῶν	ἄστε-ων
Δοτ.	τοῖς	πήχεσι(ν)	πελέκεσι(ν)	τοῖς	ἄστεσι(ν)
Αἰτ.	τοὺς	πήχεις	πελέκεις	τὰ	ἄστη
Κλ.	ὦ	πήχεις	πελέκεις	ὦ	ἄστη.

γ΄) Θέματα εἰς **ο** καὶ **ω**.

§ 151. Τὰ μὲν ἔχοντα θέμα εἰς **ο** εἶναι *θηλυκὰ* καὶ ἐσχημάτισαν τὴν ὀνομαστικὴν ἐξ αὐτοῦ τοῦ θέματος δι' ἐκτάσεως τοῦ **ο** εἰς **ω**· τὰ δ' ἔχοντα θέμα εἰς **ω** εἶναι *ἀρσενικὰ* καὶ ἐσχημάτισαν τὴν ὀνομαστικὴν τῇ προσλήψει τοῦ **ς**.

§ 152. Τὰ *θηλυκὰ* συναιροῦσι τὸ **ο** μετὰ μὲν τοῦ **ο** εἰς **ου**, μετὰ δὲ τοῦ **ι** εἰς **οι** καὶ μετὰ τοῦ **α** εἰς **ω**.

Ἡ κλητικὴ τούτων λήγει εἰς **οῖ**.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ον.	ἡ	πειθὼ	Καλυψώ
Γεν.	τῆς	πειθ(ό-ος)οῦς	Καλυψ(ό-ος)οῦς
Δοτ.	τῇ	πειθ(ό-ϊ)οῖ	Καλυψ(ό-ϊ)οῖ
Αἰτ.	τὴν	πειθ(ό-α)ὼ	Καλυψ(ό-α)ὼ
Κλ.	ὦ	πειθοῖ	Καλυψοῖ.

Πληθυντικὸς ἀριθμὸς τούτων δὲν ὑπάρχει.

Ἡ αἰτιατικὴ τοῦ ἑνικοῦ ὀξύνεται παρὰ τὸν κανόνα, ὃν ἰδὲ ἐν § 102.

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	ἥρως	Τρώς
Γεν.	τοῦ	ἥρω-ος	Τρω-ὸς
Δοτ.	τῷ	ἥρω-ϊ	Τρω-ΐ
Αἰτ.	τὸν	ἥρω-α (ἥρω)	Τρῶ-α
Κλ.	ὦ	ἥρως	Τρὼς

SISMANOGLIO MIGLIARO

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	ἥρω-ες	Τρῶ-ες
Γεν.	τῶν	ἡρώ-ων	Τρώ-ων
Δοτ.	τοῖς	ἥρωσι(ν)	Τρωσὶ(ν)
Αἰτ.	τοὺς	ἥρω-ας	Τρῶ-ας
Κλ.	ὦ	ἥρω-ες	Τρῶ-ες.

δ') Θέματα εἰς **ευ.**

§ 153. Ταῦτα ἐσχημάτισαν τὴν ὀνομαστικὴν τῇ προσλήψει τοῦ **ς.**

Τὴν γενικὴν τοῦ ἑνικοῦ ἔχουσιν εἰς **ως**· τὴν δὲ αἰτιατικὴν τοῦ ἑνικοῦ καὶ πληθυντικοῦ εἰς **α** καὶ **ας.**

§ 154. Τὸ **υ** τῆς διφθόγγου **ευ** ἀπεβλήθη πρὸ τῶν καταλήξεων τῶν ἀρχομένων ἀπὸ φωνήεντος· μετὰ ταῦτα δὲ συνῃρέθη τὸ **ε** μετὰ τῶν καταλήξεων ὡς ἐν τοῖς εἰς **ις** γεν. **εως.**

Ἡ κλητικὴ τοῦ ἑνικοῦ εἶναι ὁμοία μὲ τὸ θέμα καὶ περισπᾶται.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	βασιλεὺς	ἱππεὺς
Γεν.	τοῦ	βασιλέ-ως	ἱππέ-ως
Δοτ.	τῷ	βασιλ(έ-ϊ)εῖ	ἱππ(έ-ϊ)εῖ
Αἰτ.	τὸν	βασιλέ-α	ἱππέ-α
Κλ.	ὦ	βασιλεῦ	ἱππεῦ

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	βασιλ(έ-ες) εἷς	ἱππ(έ-ες) εἷς
Γεν.	τῶν	βασιλέ-ων	ἱππέ-ων
Δοτ.	τοῖς	βασιλεῦσι (ν)	ἱππεῦσι (ν)
Αἰτ.	τοὺς	βασιλέ-ας καὶ βασιλεῖς	ἱππέ-ας καὶ ἱππεῖς
Κλ.	ὦ	βασιλεῖς	ἱππεῖς.

Ὅσα ἐκ τῶν εἰς **ευ** ἔχουσι φωνῆεν πρὸ τοῦ **ευ** συναιροῦσι καὶ τὸ **ε** μετὰ μὲν τοῦ **ω** εἰς **ω** μετὰ δὲ τοῦ **α** εἰς **α.**

Παράδειγμα. Ἐνικ. Ὁ. Πειραιεύς, Γεν. Πειραι(έ-ως) ῶς, Δοτ. Πειραι(έ-ϊ) εἰ, Αἰτ. Πειραι(έ-α) ᾶ, Κλτ. Πειραιεῦ.

Πληθ. Ὀν. Πειραι(έ-ες) εἷς, Γεν. Πειραι(έ-ων) ῶν, Δοτ. Πειραιεῦσι(ν), Αἰτ. Πειραι(έ-ας) ᾶς καὶ Πειραιεῖς, Κλτ. Πειραιεῖς.

ε') Θέματα εἰς **αυ** καὶ **ου.**

§ 155. Καὶ ταῦτα ἐσχημάτισαν τὴν μὲν ὀνομαστικὴν διὰ τῆς προσλήψεως τοῦ **ς,** τὴν γενικὴν εἰς **ος** καὶ τὴν αἰτιατικὴν τοῦ μὲν ἑνικοῦ εἰς **ν,** τοῦ δὲ πληθυντικοῦ εἰς **ς.**

Τὴν κλητικὴν τοῦ ἑνικοῦ ἐσχημάτισαν ὡς τὰ εἰς **εῦ** (πῶς;).

§ 156. Τὸ **υ** τῶν διφθόγγων **αυ** καὶ **ου** ἀπεβλήθη ἔνθα καὶ ἐν τοῖς εἰς **ευ** (ποῦ;), ἀλλὰ μετὰ ταῦτα δὲν ἐγένετο συναίρεσις.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	βοῦς	ἡ	γραῦς
Γεν.	τοῦ	βο-ὸς	τῆς	γρα-ὸς
Δοτ.	τῷ	βο-ΐ	τῇ	γρα-ΐ
Αἰτ.	τὸν	βοῦ-ν	τὴν	γραῦ-ν
Κλ.	ὦ	βοῦ	ὦ	γραῦ

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	βό-ες	αἱ	γρᾶ-ες
Γεν.	τῶν	βο-ῶν	τῶν	γρα-ῶν
Δοτ.	τοῖς	βου-σί (ν)	ταῖς	γραυ-σί (ν)
Αἰτ.	τοὺς	βοῦ-ς	τὰς	γραῦ-ς
Κλ.	ὦ	βό-ες	ὦ	γρᾶ-ες.

SISMANOGLIO

Ἡ ναῦς κλίνεται οὕτως·

Ἑνικὸς ἀριθμός.

Ὀν.	Γεν.	Δοτ.	Αἰτ.	Κλ.
ἡ *ναῦς,*	τῆς *νεώς,*	τῇ *νηΐ,*	τὴν *ναῦν,*	ὦ *ναῦ*

Πληθυντικὸς ἀριθμός.

αἱ *νῆες,*	τῶν *νεῶν,*	ταῖς *ναυσί(ν),*	τὰς *ναῦς*	ὦ *νῆες.*

ΑΣΚΗΣΙΣ 18.

Ὁ Ξέρξης διελθὼν διὰ τῶν Θερμοπυλῶν προχωρεῖ καταστρέφων τὰς χώρας τῆς Ἑλλάδος.

Α΄ Ξέρξης ἀπὸ τῶν Θερμοπυλῶν ἀναζεύξας (ξεκινήσας) προῆγε (ἐπροχώρει) διὰ τῆς **Φωκέων** χώρας, πορθῶν (καταστρέφων) μὲν τὰς **πόλεις,** καταφθείρων δὲ τὰς ἐπὶ τῆς χώρας **κτήσεις** (τὰ ἐν τῇ ἐξοχῇ κτήματα). Οἱ δὲ **Φωκεῖς** θεωροῦντες ἑαυτοὺς οὐκ ἀξιομάχους, τὰς μὲν **πόλεις** ἁπάσας ἐξέλιπον, πρὸς δὲ τὰς δυσχωρίας (**κακοτοπιὲς**) τὰς ἐν τῷ Παρνασσῷ κατέφυγον. Μετὰ δὲ ταῦτα ὁ **βασιλεὺς** τὴν μὲν **τῶν Δωριέων** χώραν οὐδὲν ἠδίκει· μέρος δὲ τῆς **δυνάμεως** ἀπέλιπεν (ἀφῆκεν) ἐν Δωρίδι καὶ προσέταξεν εἰς Δελφοὺς ἐλθεῖν καὶ τὸ μὲν τέμενος (τὸ ἱερὸν ἔδαφος, ναὸν) τοῦ Ἀπόλλωνος ἐμπρῆσαι (νὰ πυρπολήσωσι), τὰ δὲ ἀναθήματα (ἀφιερώματα) συλῆσαι (νὰ διαρπάσωσιν), ἀλλ' οἱ ἐπὶ τὴν **σύλησιν** (διαρπαγὴν) τοῦ μαντείου πεμφθέντες οὐδὲν κατώρθωσαν.

Οἱ ὁρμηθέντες Ἀθηναῖοι στρατηγοὶ ἐν τῇ ἐν Μαραθῶνι μάχῃ.

Σύλληψις περσικῶν πλοίων ὑπὸ τῶν Ἀθηναίων διὰ τῶν χειρῶν.

Β΄ Ἐν τῇ ἐν Μαραθῶνι μάχῃ ἐφονεύθη ὁ πολέμαρχος Καλλίμαχος, ἀνὴρ γενόμενος (ἀναδειχθεὶς) γενναῖος, ἀπέθανε δ' ἐκ τῶν στρατηγῶν Στησίλαος ὁ Θρασύλου. Κυνέγειρος δὲ δὲ ὁ Εὐφορίωνος ἐπιλαβόμενος τῶν ἁφλάστων **νεώς** (πιάσας τὰ ἐν τῇ πρύμνῃ κοσμήματα πλοίου τινός), τὴν χεῖρα ἀποκοπεὶς **πελέκει** πίπτει. Ἑπτὰ μὲν τῶν νεῶν ἐπεκράτησαν τρό-

πῳ τοιῷδε οἱ Ἀθηναῖοι, ταῖς δὲ λοιπαῖς **ναυσὶν** οἱ βάρβαροι περιέπλεον τὸ Σούνιον, βουλόμενοι ἐλθεῖν εἰς τὸ **ἄστυ** (δηλ. τὰς Ἀθήνας) πρὸ τῶν **Ἀθηναίων.**

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄

Συζυγία τῶν εἰς ω.

Ἐνεργητικὴ φωνὴ τῶν βαρυτόνων.

Παρακείμενος, Ὑπερσυντελικὸς καὶ τετελεσμένος Μέλλων.

§ 157. α΄) Ὁ ἐνεργητικὸς παρακείμενος πάντων τῶν βαρυτόνων ῥημάτων τῆς ἀρχαίας ἐσχηματίσθη *μονολεκτικῶς* διὰ τῆς προσθήκης εἰς τὸ ἀναδιπλασιασθὲν ῥηματικὸν θέμα τῶν προσωπικῶν καταλήξεων αὐτοῦ, αἵτινες εἶναι ἐν τῇ Ὁριστικῇ·

Ἐν τῷ ἑνικῷ ἀριθμῷ α΄ **α,** β΄ **ας,** γ΄ **ε(ν)**

» » πληθ. » » **αμεν,** » **ατε,** » **ασι(ν)**

Ἐν τῇ Ὑποτακτικῇ, Εὐκτικῇ καὶ Προστακτικῇ αἱ αὐταὶ πρὸς τὰς τοῦ ἐνεργητικοῦ ἐνεστῶτος (τίνες;).

Ἐν τῷ Ἀπαρεμφάτῳ **έναι** καὶ

Ἐν τῇ Μετοχῇ· ἀρσ. **ώς,** θηλ. **υῖα,** οὐδ. **ός.**

§ 158. Πρὸ τῶν καταλήξεων τούτων ἔλαβον χρονικὸν χαρακτῆρα **κ** τὰ *φωνηεντόληκτα, ὑγρόληκτα, ἐρρινόληκτα* καὶ τὰ *ἔχοντα χαρακτῆρα ἓν τῶν ὀδοντικῶν* τ, δ, θ.

Τὸ ὀδοντικὸν ἀπεβλήθη πρὸ τοῦ χρονικοῦ χαρακτῆρος **κ.**

Τὸ ἔρρινον πρὸ τοῦ χρονικοῦ χαρακτῆρος **κ** ἐτράπη εἰς **γ.**

§ 159. Αἱ προσωπικαὶ λοιπὸν καταλήξεις τῶν ῥη-

SISMANOGLIO

μάτων τούτων μετὰ τοῦ χρονικοῦ χαρακτῆρος **κ** εἶναι ἐν τῇ Ὁριστικῇ·

Ἐν τῷ ἑνικῷ α΄ **κα,** β΄ **κας,** γ΄ **κε(ν)·**
» » πληθ. » **καμεν,** » **κατε,** » **κασι(ν).**

Ἐν τῇ Ὑποτακτικῇ·

Ἐν τῷ ἑνικῷ α΄ **κω,** β΄ **κῃς,** γ΄ **κῃ**
» » πληθ. » **κωμεν,** » **κητε,** » **κωσι(ν).**

Ἐν τῇ Εὐκτικῇ·

Ἐν τῷ ἑνικῷ α΄ **κοιμι,** β΄ **κοις,** γ΄ **κοι**
» » πληθ. » **κοιμεν,** » **κοιτε,** » **κοιεν.**

Ἐν τῇ Προστακτικῇ·

Ἐν τῷ ἑνικῷ β΄ **κε,** γ΄ **κέτω**
» » πληθ. » **κετε,** » **κότων** ἢ **κέτωσαν.**

Ἐν τῷ Ἀπαρεμφάτῳ· **κέναι.**

Ἐν τῇ Μετοχῇ·

Ἀρσ. ὀν. **κώς,** γεν. **κότος·**
Θηλ. » **κυῖα,** » **κυίας·**
Οὐδ. » **κός,** » **κότος.**

§ 160. Τὰ ἔχοντα χαρακτῆρα ἓν τῶν οὐρανικῶν **κ, γ, χ,** ἢ ἓν τῶν χειλικῶν **π, β, φ,** *δὲν ἔλαβον* χρονικὸν χαρακτῆρα **κ,** *ἀλλ'* ***ἐδάσυναν*** τὸν χαρακτῆρα τοῦ ῥηματικοῦ θέματος εἰς **χ** καὶ **φ.**

§ 161. ***Ἀναδιπλασιασμός.*** Τὸ ῥηματικὸν θέμα ἀναδιπλασιάζεται πρὸς σχηματισμὸν τοῦ παρακειμένου κατὰ τρεῖς τρόπους·

1) Τὰ ἀπὸ *φωνήεντος* ἢ *διφθόγγου* ἀρχόμενα ῥηματικὰ θέματα ἀνοδιπλασιάζονται διὰ *χρονικῆς αὐξήσεως·* ἴδε § 45, β΄.

2) Τὰ ἀπὸ ***διπλοῦ*** *συμφώνου* ἢ ἀπὸ ***δύο*** *ἀφώνων*

ἢ ἀπὸ **ρ** καὶ **γν** ἀναδιπλασιάζονται διὰ *συλλαβικῆς αὐξήσεως·* ἴδε § 45, α΄.

3) Τὰ ἀπὸ *ἁπλοῦ συμφώνου* ἢ ἀπὸ *δύο συμφώνων,* ἐξ ὧν τὸ δεύτερον *ὑγρὸν* ἢ **ν,** πλὴν τῆς πλοκῆς **γν,** ἀναδιπλασιάζονται διὰ τῆς προσθήκης ἐν ἀρχῇ τοῦ ῥημ. θέματος *συλλαβῆς* ἀποτελουμένης ἐκ τοῦ ἀρκτικοῦ σύμφωνου τοῦ ῥηματικοῦ θέματος μετὰ τοῦ **ε.**

Τῶν ῥημ. τούτων θεμάτων ὅταν τὸ ἀρκτικὸν γράμμα εἶναι *δασύ,* τρέπεται ἐν τῇ *συλλαβῇ* τοῦ ἀναδιπλασιασμοῦ εἰς ψιλόν· π. χ. *φονεύω,* παρακείμενος ***πεφόνευκα·*** *φροντίζω,* ***πεφρόντικα.***

§ 162. Εἰς τὰ μετὰ προθέσεων σύνθετα ῥήματα ὁ ἀναδιπλασιασμὸς συμβαίνει ***μετὰ τὴν πρόθεσιν.***

§ 163. Ὁ *ἀναδιπλασιασμὸς* φυλάττεται εἰς *πάσας* τὰς *ἐγκλίσεις,* ἐν τῷ *Ἀπαρεμφάτῳ* καὶ τῇ *Μετοχῇ.*

Παραδείγματα.

ι. ΟΡΙΣΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

ῥημ. θ. λυ	ῥ. θ. ἀγγελ	ῥ. θ. πειθ	ῥ. θ. ἀγ	ῥ. θ. ῥιπ
α΄ λέ-λυ-κα	ἤγγελκα	πέ-πει-κα	ἦχα	ἔρριφα
β΄ λέ-λυ-κας	ἤγγελκας	πέ-πει-κας	ἦχας	ἔρριφας
γ΄ λέ-λυ-κε(ν)	ἤγγελκε(ν)	πέ-πει-κε(ν)	ἦχε(ν)	ἔρριφε(ν)
	κτλ.	κτλ.	κτλ.	κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ λε-λύ-καμεν
β΄ λε-λύ-κατε
γ΄ λε-λύ-κασι(ν).

Ἑνικὸς ἀριθμός.

	ῥ. θ. ἐλπιδ	ῥ. θ. φαν	ῥ. θ. στελ[1]	ῥ. θ. φθερ[1]
α΄	ἤλπικα	πέφαγκα	ἔσταλκα	ἔφθαρκα
β΄	ἤλπικας	πέφαγκας	ἔσταλκας	ἔφθαρκας
γ΄	ἤλπικε(ν)	πεφαγκε ν)	ἔσταλκε(ν)	ἔφθαρκε(ν)
	κτλ.	κτλ.	κτλ.	κτλ.

Ὁ ἐνεργ. παρακείμενος τοῦ *πέμπω* εἶναι *πέπομφα*· τοῦ *τρέπω*, *τέτροφα*· τοῦ *κλέπτω*, *κέκλοφα*.

2. ΥΠΟΤΑΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

α΄	λε-λύ-κω	ἠγγέλκω	πεπείκω	ἤχω	ἐρρίφω
β΄	λε-λύ-κῃς	ἠγγέλκῃς	πεπείκῃς	ἤχῃς	ἐρρίφῃς
γ΄	λε-λύ-κῃ	ἠγγέλκῃ κτλ.	πεπείκῃ κτλ.	ἤχῃ κτλ.	ἐρρίφῃ κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ λε-λύ-κωμεν
β΄ λε-λύ-κητε
γ΄ λε-λύ-κωσι(ν).

3. ΕΥΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

α΄	λε-λύ-κοιμι	ἐρρίφοιμι	ἠλπίκοιμι	ἥχοιμι	ἐστάλκοιμι
β΄	λε-λύ-κοις	ἐρρίφοις	ἠλπίκοις	ἥχοις	ἐστάλκοις
γ΄	λε-λύ-κοι	ἐρρίφοι	ἠλπίκοι	ἥχοι	ἐστάλκοι
		κτλ.	κτλ.	κτλ.	κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ λε-λύ-κοιμεν
β΄ λε-λύ-κοιτε
γ΄ λε-λύ-κοιεν.

1. Τὰ μονοσύλλαβα ὑγρόληκτα καὶ ἐρρινόληκτα θέματα, τὰ ἔχοντα πρὸ τοῦ χαρακτῆρος ε, τρέπουσιν αὐτὸ ἐν τῷ ἐνεργ. παρακειμένῳ καὶ ὑπερσυντελικῷ εἰς α.

4. ΠΡΟΣΤΑΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

β΄	λέ-λυ-κε	ἐ-στράτευκε	πέ-πεικε	ἔσταλκε
γ΄	λε-λυ-κέτω	ἐ-στρατευκέτω	πε-πεικέτω	ἐ-σταλκέτω
		κτλ.	κτλ.	κτλ.

Πληθυντικὸς ἀριθμός.

β΄ λε-λύ-κετε γ΄ λε-λυ-κότων ἢ λε-λυ-κέτωσαν

5. ΑΠΑΡΕΜΦΑΤΟΥ.

λε-λυ-κέναι, ἠλπικέναι, ἐσταλκέναι, ἐρριφέναι.

6. ΜΕΤΟΧΗΣ.

Ἀρσ.	λε-λυ-κώς	γεν.	λε-λυ-κότος,		
Θηλ.	λε-λυ-κυῖα	γεν.	λε-λυ-κυίας.		
Οὐδ.	λε-λυ-κὸς	γεν.	λε-λυ-κότος.		
Ἀρσ.	ἠλπικώς,	Θηλ.	ἠλπικυῖα,	Οὐδ.	ἠλπικός.
Ἀρσ.	ἐρριφώς,	Θηλ.	ἐρριφυῖα,	Οὐδ	ἐρριφός.
Ἀρσ.	ἐσταλκώς,	Θηλ.	ἐσταλκυῖα,	Οὐδ.	ἐσταλκός.
Ἀρσ.	ἠχώς,	Θηλ.	ἠχυῖα,	Οὐδ.	ἠχός.

§ 164. Τὸ μὲν ἀρσενικὸν καὶ οὐδέτερον γένος τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου κλίνεται κατὰ τὰ ὀδοντικὸν χαρακτῆρα ἔχοντα οὐσιαστικὰ τῆς λεγομένης γ΄ κλίσεως· τὸ δὲ θηλυκὸν κατὰ τὴν λεγομένην α΄ κλίσιν.

§ 165. Ὁ ἐνεργητικὸς παρακείμενος ἐν τῇ Ὑποτακτικῇ, Εὐκτικῇ καὶ Προστακτικῇ ἐσχηματίσθη καὶ *περιφραστικῶς* διὰ τῆς Μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ ἐνεστῶτος τῆς Ὑποτακτικῆς, Εὐκτικῆς καὶ Προστακτικῆς τοῦ ῥήματος *εἰμί*.

Ὁ ἐνεστὼς τοῦ ***εἰμί*** εἶναι·

Ἐν τῇ Ὑποτακτικῇ·

Ἑν.	α΄	ὦ		β	ἦς	γ	ἦ
Πλ.	»	ὦμεν		»	ἦτε	»	ὦσι(ν)

SISMANOGLIO

Ἐν τῇ Εὐκτικῇ·

Ἑν. α΄ **εἴην,** β΄ **εἴης,** γ΄ **εἴη**
Πλ. » **εἶημεν εἶμεν,** » **εἶητε εἶτε,** » **εἶησαν εἶεν.**

Ἐν τῇ Προστακτικῇ·

Ἑν. β΄ **ἴσθι** γ΄ **ἔστω**
Πλ. » **ἔστε** » **ἔστωσαν καὶ ἔστων καὶ ὄντων.**

Σχημάτισον περιφραστικῶς ἐν ταῖς ἀνωτέρω ἐγκλίσεσι τὸν ἐνεργητικὸν παρακείμενον τῶν ἐν τοῖς παραδείγμασι ῥημάτων.

β΄) Ὁ ἐνεργητικὸς ὑπερσυντελικὸς πάντων τῶν βαρυτόνων ῥημάτων τῆς ἀρχαίας ἐσχηματίσθη *μονολεκτικῶς*· ἔχει δὲ τὰς ἑξῆς καταλήξεις:

Ἐν τῷ ἑνικῷ ἀριθμῷ α΄ **ειν,** β΄ **εις,** γ΄ **ει**
» » πληθ. » » **ειμεν,** » **ειτε,** » **εσαν**

Τὰ ἐν §§ 158, 160, 161 καὶ 162 περὶ τοῦ παρακειμένου καὶ περὶ τοῦ ἀναδιπλασιασμοῦ λεχθέντα ἰσχύουσι καὶ περὶ τοῦ ὑπερσυντελικοῦ.

Ὅταν τὸ ῥηματικὸν θέμα ἀναδιπλασιάζηται διὰ συλλαβῆς (ἴδε § 161), τότε ὁ ὑπερσυντελικὸς λαμβάνει πρὸ ταύτης καὶ *συλλαβικὴν αὔξησιν*.

§ 166. Ὁ ὑπερσυντελικὸς εὑρίσκεται ἐν μόνῃ τῇ Ὁριστικῇ.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

α΄ **ἐ-λε-λύ-κειν ἠλ-πί-κειν ἐ-στάλ-κειν ἐ-φθάρ-κειν**
β΄ **ἐ-λε-λύ-κεις ἠλ-πί-κεις ἐ-στάλ-κεις ἐ-φθάρ-κεις**
γ΄ **ἐ-λε-λύ-κει ἠλ-πί-κει κτλ. ἐ-στάλ-κει κτλ. ἐ-φθάρ-κει κτλ.**

Πληθυντικὸς ἀριθμός.

α΄ **ἐ-λε-λύ-κειμεν**
β΄ **ἐ-λε-λύ-κειτε**
γ΄ **ἐ-λε-λύ-κεσαν.**

Ἐνικ. ἀριθ. α΄ **ἐρρίφειν ἴσχειν ἠγγέλκειν**
β΄ **ἐρρίφεις ἴσχεις ἠγγέλκεις**
γ΄ **ἐρρίφει κτλ. ἴσχει κτλ. ἠγγέλκει κτλ.**

Τὸ τρίτον πληθυντικὸν πρόσωπον τοῦ ὑπερσυντελικοῦ ἔχει καὶ κατάληξιν **εισαν.**

§ 167. Ὁ ἐνεργητικὸς ὑπερσυντελικὸς ἐσχηματίσθη καὶ περιφραστικῶς διὰ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ *παρατατικοῦ* τοῦ ῥήματος *εἰμί*.

Ὁ *παρατατικὸς* τοῦ **εἰμὶ** εἶναι·

Ἑνικὸς ἀριθμὸς α΄ **ἦν (ᾖ),** β΄ **ἦσθα,** γ΄ **ἦν**
Πληθ. » » **ἦμεν,** » **ἦτε (ἦστε)** » **ἦσαν.**

Σχημάτισον *περιφραστικῶς* τὸν ὑπερσυντελικὸν τῶν ἐν τοῖς παραδείγμασι ῥημάτων.

γ΄) Ὁ ἐνεργητικὸς τετελεσμένος μέλλων ἐσχηματίσθη καὶ ἐν τῇ ἀρχαίᾳ *περιφραστικῶς* μέν, ἀλλὰ διὰ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ μέλλοντος τοῦ ῥήματος **εἰμί.**

Ὁ *μέλλων* τοῦ **εἰμὶ** εἶναι:

Ἐν τῇ Ὁριστικῇ

Ἑνικὸς ἀριθμὸς α΄ **ἔσομαι,** β΄ **ἔσῃ (ἔσει),** γ΄ **ἔσται**
Πληθ. » » **ἐσόμεθα** » **ἔσεσθε** » **ἔσονται**

Ἐν τῇ Εὐκτικῇ

Ἑνικὸς ἀριθμὸς α΄ **ἐσοίμην,** β΄ **ἔσοιο,** γ΄ **ἔσοιτο**
Πληθ. » » **ἐσοίμεθα** » **ἔσοισθε** » **ἔσοιντο**

Ἐν τῷ Ἀπαρεμφάτῳ

ἔσεσθαι

Ἐν τῇ Μετοχῇ

Ἀρσ. **ἐσόμενος** Θηλ. **ἐσομένη,** Οὐδ. **ἐσόμενον.**

SISMANOGLIO

Παραδείγματα.

Ἐν τῇ Ὁριστικῇ

Ἑνικὸς ἀριθμὸς	α΄	λελυκώς.	κυῖα,	κὸς	ἔσομαι
	β΄	»	»	»	ἔσῃ (ἔσει)
	γ΄	»	»	»	ἔσται
Πληθ. »	α΄	λελυκότες,	κυῖαι,	κότα	ἐσόμεθα
	β΄	»	»	»	ἔσεσθε
	γ΄	»	»	»	ἔσονται

Ἐν τῇ Εὐκτικῇ

Ἑνικὸς ἀριθμὸς	α΄	λελυκώς,	κυῖα,	κὸς	ἐσοίμην
	β΄	»	»	»	ἔσοιο
	γ΄	»	»	»	ἔσοιτο
Πληθ. »	α΄	λελυκότες,	κυῖαι,	κότα	ἐσοίμεθα
	β΄	»	»	»	ἔσοισθε
	γ΄	»	»	»	ἔσοιντο.

Ἐν τῷ Ἀπαρεμφάτῳ

λελυκώς,	κυῖα,	κὸς	ἔσεσθαι
λελυκότες,	κυῖαι,	κότα	

Ἐν τῇ Μετοχῇ

Ἀρσενικὸν	λελυκὼς	ἐσόμενος
Θηλυκὸν	λελυκυῖα	ἐσομένη
Οὐδέτερον	λελυκὸς	ἐσόμενον

§ 168. Τῶν ῥημάτων *θνῄσκω* καὶ *ἵστημι* ὁ τετελεσμένος μέλλων ἐσχηματίσθη *μονολεκτικῶς*· **τεθνήξω, ἑστήξω.**

ΑΣΚΗΣΙΣ 19.

Αἱ Ἀθῆναι ἡ κοιτὶς τῆς φιλοσοφίας καὶ τῆς ῥητορικῆς.

Α΄ Τὴν φιλοσοφίαν, ἥτις πάντα τἀγαθὰ **συνεξεύρηκε** καὶ **συγκατεσκεύακε** καὶ πρός τε τὰς πράξεις ἡμᾶς **πεπαίδευκε** καὶ πρὸς ἀλλήλους πράους **πεποίηκε**, καὶ τῶν συμφορῶν τὰς μὲν δι' ἀμαθίαν γιγνομένας φυλάξασθαι (νὰ προ-

φυλαχθῶμεν) **δεδίδαχε**, τὰς δὲ ἐξ ἀνάγκης γιγνομένας καλῶς φέρειν **εἴθικεν** (ἔχει συνειθίσει ἡμᾶς), ἡ πόλις ἡμῶν κατέδειξε, καὶ λόγοις ἐτίμησεν. Τοσοῦτον δ' ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους **ὑπερβέβηκεν**, ὥσθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι **γεγόνασι**, καὶ τὸ τῶν Ἑλλήνων ὄνομα **πεποίηκε** ***μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι*** (νὰ μὴ θεωρῆται πλέον ὄνομα τῆς καταγωγῆς των, ἀλλὰ τῆς πνευματικῆς ἀναπτύξεως).

Οἱ Συρακόσιοι εἶχον ἀνταμείψει τοὺς εἰς βοήθειαν αὐτῶν ἐλθόντας Λακεδαιμονίους, εἶχον κοσμήσει τοὺς ναοὺς διὰ λαφύρων καὶ εἶχον τιμήσει τοὺς ἀριστεύσαντας ἐκ τῶν στρατιωτῶν.

Β΄ Συρακόσιοι δέ, ἐπεὶ τὸν πρὸς Ἀθηναίους πόλεμον **κατελελύκεσαν**, τοὺς μὲν Λακεδαιμονίους **συμμαχήσαντας** αὐτοῖς, **ἐτετιμήκεσαν** τοῖς ἐκ τοῦ πολέμου λαφύροις, **συναπεστάλκεσαν** δ' αὐτοῖς εἰς Λακεδαίμονα εἰς τὸν πρὸς Ἀθηναίους πόλεμον τριάκοντα καὶ πέντε τριήρεις, ὧν ἦρχεν Ἑρμοκράτης ὁ πρωτεύων τῶν πολιτῶν. Αὐτοὶ δὲ τὰς ἐκ τοῦ πολέμου γενομένας ὠφελείας ἐπεὶ **ἠθροίκεσαν** τοὺς μὲν ναοὺς ἀναθήμασι καὶ ***σκύλοις*** (λαφύροις) **ἐκεκοσμήκεσαν**, τῶν δὲ στρατιωτῶν τοὺς **ἠριστευκότας** ταῖς προσηκούσαις (μὲ τὰς πρεπούσας) δωρεαῖς **ἐτετιμήκεσαν**.

Ὁ Σωκράτης ἀρνεῖται νὰ μεταχειρισθῇ πρὸς ὑπεράσπισιν αὐτοῦ ῥητορικὸν λόγον.

Γ΄ Ὅτε ὁ Σωκράτης ἔφευγε τὴν δίκην (ἐνήγετο εἰς τὸ δικαστήριον), Λυσίας ὁ ῥήτωρ λόγον τινὰ ἦλθε κομίζων αὐτῷ καὶ ἐκέλευε χρήσασθαι (νὰ τὸν χρησιμοποιήσῃ). Ἐπεὶ δ' ὁ Σωκράτης οὐκ ἐβούλετο χρήσασθαι αὐτῷ, «**Τεθνήξεις** τοίνυν», ἔφη ὁ Λυσίας, «εἰ μὴ οὕτως ἀπολογήσει». Ὁ δὲ Σωκράτης, «Εἰ καὶ μὴ νῦν **τεθνήξω**», ἔφη, «πάντως **τεθνήξω**».

SISMANOGLIO MEGARO

ΦΩΝΗ ΕΝΕΡΓΗΤΙΚΗ

		ΟΡΙΣΤΙΚΗΣ	ΥΠΟΤΑΚΤΙΚΗΣ	ΕΥΚΤΙΚΗΣ
Ἐνεστώς	Ἑνικός	λύω λύεις λύει	λύω λύῃς λύῃ	λύοιμι λύοις λύοι
	Πληθ.	λύομεν λύετε λύουσι(ν)	λύωμεν λύητε λύωσι(ν)	λύοιμεν λύοιτε λύοιεν
Παρατατικός	Ἑνικός	ἔλυον ἔλυες ἔλυε(ν)		
	Πληθ.	ἐλύομεν ἐλύετε ἔλυον		
Μέλλων	Ἑνικός	λύσω λύσεις λύσει		λύσοιμι λύσοις λύσοι
	Πληθ.	λύσομεν λύσετε λύσουσι(ν)		λύσοιμεν λύσοιτε λύσοιεν
Ἀόριστος	Ἑνικός	ἔλυσα ἔλυσας ἔλυσε(ν)	λύσω λύσῃς λύσῃ	λύσαιμι λύσαις[1] λύσαι[2]
	Πληθ.	ἐλύσαμεν ἐλύσατε ἔλυσαν	λύσωμεν λύσητε λύσωσι(ν)	λύσαιμεν λύσαιτε λύσαιεν[3]

ΤΟΥ ΡΗΜΑΤΟΣ ΛΥΩ

ΠΡΟΣΤΑΚΤΙΚΗΣ	ΑΠΑΡΕΜΦΑΤΟΥ	ΜΕΤΟΧΗΣ
	λύειν	λύων γεν. λύοντος λύουσα » λυούσης λῦον » λύοντος
λῦε λυέτω		
λύετε λυόντων ἢ λυέτωσαν		
	λύσειν	λύσων γεν. λύσοντος λύσουσα » λυσούσης λῦσον » λύσαντος
	λῦσαι	λύσας γ. λύσαντος λύσασα » λυσάσης λῦσαν » λύσαντος
λῦσον λυσάτω		
λύσατε λυσάντων ἢ λυσάτω-[σαν		

SISMANOGLIO MEGARO

(Συνέχεια) ΦΩΝΗ ΕΝΕΡΓΗΤΙΚΗ

		ΟΡΙΣΤΙΚΗΣ	ΥΠΟΤΑΚΤΙΚΗΣ	ΕΥΚΤΙΚΗΣ
Παρακείμενος	*Ἑνικός*	λέλυκα λέλυκας λέλυκε(ν)	λελύκω [1] λελύκῃς λελύκῃ	λελύκοιμι [1] λελύκοις λελύκοι
	Πληθ.	λελύκαμεν λελύκατε λελύκασι(ν)	λελύκωμεν λελύκητε λελύκωσι(ν)	λελύκοιμεν λελύκοιτε λελύκοιεν
Ὑπερσυντελικός	*Ἑνικός*	ἐλελύκειν ἐλελύκεις ἐλελύκει		
	Πληθ.	ἐλελύκειμεν ἐλελύκειτε ἐλελύκεσαν		
Μέλλων τετελεσμ.	*Ἑνικός*	λελυκώς ἔσομαι λελυκὼς ἔσῃ (ει) λελυκὼς ἔσται		λελυκὼς ἐσοίμην λελυκὼς ἔσοιο λελυκὼς ἔσοιτο
	Πληθ.	λελυκότες ἐσόμεθα λελυκότες ἔσεσθε λελυκότες ἔσονται		λελυκότες ἐσοίμεθα λελυκότες ἔσοισθε λελυκότες ἔσοιντο

1. Ἢ περιφρακτικῶς ἴδε σελ. 89, § 165.

ΤΟΥ ΡΗΜΑΤΟΣ ΛΥΩ

ΠΡΟΣΤΑΚΤΙΚΗΣ	ΑΠΑΡΕΜΦΑΤΟΥ	ΜΕΤΟΧΗΣ
λέλυκε [1] λελυκέτω λελύκετε λελυκότων ἢ λελυκέτωσαν	λελυκέναι	λελυκὼς γεν. -κότος λελυκυῖα » -κυίας λελυκὸς » -κότος
	λελυκὼς ἔσεσθαι λελυκυῖα » λελυκὸς »	λελυκὼς ἐσόμενος λελυκυῖα ἐσομένη λελυκὸς ἐσόμενον

1. Ἢ περιφρασνικῶς ἴδε σελ. 89 § 165.

SISMANOGLIO MEGARO

ΚΕΦΑΛΑΙΟΝ Κ΄

Ἐπίθετα κλινόμενα κατὰ τὴν λεγομένην γ΄ κλίσιν.

Ἐπανάλαβε τὰ περὶ τοῦ *ἐπιθέτου* λεχθέντα ἐν § § 61, 62, 63 καὶ 64.

§ 169. Τὰ κατὰ τὴν κλίσιν ταύτην τῶν οὐσιαστικῶν κλινόμενα ἐπίθετα εἶναι *τρικατάληκτα, δικατάληκτα* καὶ *μονοκατάληκτα.*

Τὰ μονοκατάληκτα εἶναι ***διγενῆ.***

§ 170. Τὸ θέμα τῶν ἐπιθέτων τούτων εὑρίσκεται ὡς καὶ τὸ τῶν οὐσιαστικῶν (πῶς;).

Τοῦ οὐδετέρου γένους ἡ ὀνομαστικὴ τοῦ ἑνικοῦ εἶναι ὁμοία μὲ τὸ θέμα.

Ὡς πρὸς τὸν χαρακτῆρα τὰ ἐπίθετα ταῦτα διαιροῦνται εἰς τὰ λήγοντα:

1) εἰς **υ**· καὶ ταῦτα εἶναι *τρικατάληκτα,*

2) εἰς **ντ**· καὶ ταῦτα εἶναι *τρικατάληκτα,*

3) εἰς **ν**· καὶ ταῦτα εἶναι *δικατάληκτα,* πλὴν τῶν ἑξῆς: **τάλας, τάλαινα, τάλαν,** καὶ **μέλας, μέλαινα, μέλαν,**

4) εἰς **σ**· καὶ ταῦτα εἶναι *δικατάληκτα,* καὶ

5) εἰς *ἄφωνον* ἢ *ὑγρόν*· καὶ ταῦτα εἶναι *μονοκατάληκτα.*

Τὸ **α** τοῦ θηλυκοῦ τῶν τρικαταλήκτων τούτων ἐπιθέτων εἶναι *βραχύ.*

α΄) Τρικατάληκτα.

1) εἰς **υ.**

§ 171. Ταῦτα λήγουσιν ἐν τῇ ὀνομ. τοῦ ἑνικοῦ· ἐν τῷ ἀρσ. εἰς **ύς,** θηλ. **εῖα,** οὐδ. **ύ.**

Παραδείγματα.

ἀρσ.	γλυκὺς	θηλ.	γλυκεῖα	οὐδ.	γλυκὺ
»	ταχὺς	»	ταχεῖα	»	ταχύ
»	βραχὺς	»	βραχεῖα	»	βραχὺ
»	θῆλυς	»	θήλεια	»	θῆλυ
»	ἥμισυς	»	ἡμίσεια	»	ἥμισυ.

§ 172. Τὸ ἀρσενικὸν καὶ οὐδέτερον τῶν ἐπιθέτων τούτων κλίνονται μὲν κατὰ τὰ εἰς *υς* γεν. *εως* οὐσιαστικά (ἴδε § 149), ἀλλὰ ταῦτα διαφέρουσιν ἐκείνων κατὰ τὴν *κατάληξιν* τῆς ***γενικῆς*** τοῦ *ἑνικοῦ,* ἡ ὁποία εἶναι **ος.**

§ 173. Τὸ *εᾶ* τῆς πληθυντικῆς ὀνομ. αἰτιατικῆς καὶ κλητικῆς τοῦ οὐδετέρου μένει ἀσυναίρετον, πλὴν τοῦ *ἡμίσεα* - ***ἥμισυ.***

§ 174. Ἡ κλητικὴ τοῦ ἑνικοῦ τῶν ἀρσενικῶν εἶναι ὁμοία μὲ τὸ θέμα.

§ 175. Ἡ γενικὴ πληθυντικὴ τοῦ θηλυκοῦ τῶν ἐπιθέτων τούτων τονίζεται ἐπὶ τῆς ληγούσης καὶ περισπᾶται.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	γλυκὺς	ἡ	γλυκεῖα	τὸ	γλυκὺ
Γεν.	τοῦ	γλυκέ-ος	τῆς	γλυκείᾶς	τοῦ	γλυκέ-ος
Δοτ.	τῷ	γλυκ(έ-ῖ)εῖ	τῇ	γλυκείᾳ	τῷ	γλυκ(έ-ῖ)εῖ
Αἰτ.	τὸν	γλυκὺν	τὴν	γλυκεῖαν	τὸ	γλυκὺ
Κλ.	ὦ	γλυκὺ	ὦ	γλυκεῖα	ὦ	γλυκύ.

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	γλυκ(έ-ες)εῖς	αἱ	γλυκεῖαι	τὰ	γλυκέ-α
Γεν.	τῶν	γλυκέων	τῶν	γλυκειῶν	τῶν	γλυκέων
Δοτ.	τοῖς	γλυκέσι(ν)	ταῖς	γλυκείαις	τοῖς	γλυκέσι(ν)
Αἰτ.	τοὺς	γλυκεῖς	τὰς	γλυκείας	τὰ	γλυκέ-α
Κλ.	ὦ	γλυκεῖς	ὦ	γλυκεῖαι	ὦ	γλυκέ-α.

SISMANOGLIO

2) εἰς **ντ.**

§ 176. Τούτων αἱ καταλήξεις ἐν τῇ ὀνομαστικῇ τοῦ ἑνικοῦ εἶναι·

1)	ἀρσ.	**εις**	θηλ. **εσσα**	οὐδ.	**εν**
2)	»	**ας**	» **ασα**	»	**αν**
3)	»	**ων**	» **ουσα**	»	**ον.**

Παραδείγματα.

Ἀρσ.	χαρίεις	θηλ.	χαρίεσσα	χαρίεν
»	φωνήεις	»	φωνήεσσα	φωνῆεν
»	πᾶς	»	πᾶσα	πᾶν
»	ἑκών	»	ἑκοῦσα	ἑκόν (ὁ θελη-

ματικῶς κάμνων τι).

ἄκων, ἄκουσα, ἄκον (ὁ χωρὶς νὰ θέλῃ κάμνων τι).

§ 177. Τὸ ἀρσενικὸν καὶ οὐδέτερον αὐτῶν κλίνεται κατὰ τὰ ἔχοντα χαρακτῆρα **ντ** οὐσιαστικά. (ἴδε § 97, 1.2). Ἀλλὰ τῶν εἰς **εις** ἐπιθέτων, τῶν ἐχόντων πρὸ τοῦ **εις** φωνῆεν, ἡ δοτικὴ πληθυντικὴ σχηματίζεται ἄνευ ἀναπληρωτικῆς ἐκτάσεως, ἤτοι εἰς **εσι.**

§ 178. Κατὰ τὰ ἐπίθετα ταῦτα ἐσχηματίσθησαν καὶ ἐκλίθησαν πάντες οἱ χρόνοι τῆς ἐνεργητικῆς Μετοχῆς, πλὴν τοῦ παρακειμένου, ὅστις ἐσχηματίσθη καὶ ἐκλίθη κατὰ τὰ ὀδοντικὸν χαρακτῆρα ἔχοντα οὐσιαστικά.

Ἡ κλητικὴ τοῦ ἑνικοῦ τοῦ ἀρσενικοῦ γένους τῶν Μετοχῶν καὶ τῶν περισπωμένων ἐπιθέτων εἶναι ὁμοία μὲ τὴν ὀνομαστικήν.

Παραδείγματα.

Ἑνικὸς ἀριθμός.

Ὀν.	ὁ	χαρίεις	ἡ	χαρίεσσα	τὸ χαρίεν
Γεν.	τοῦ	χαρίεντος	τῆς	χαριέσσης	τοῦ χαρίεντος
Δοτ.	τῷ	χαρίεντι	τῇ	χαριέσσῃ	τῷ χαρίεντι
Αἰτ.	τὸν	χαρίεντα	τὴν	χαρίεσσαν	τὸ χαρίεν
Κλ.	ὦ	χαρίεν	ὦ	χαρίεσσα	ὦ χαρίεν

Πληθυντικὸς ἀριθμός.

Ὀν.	οἱ	χαρίεντες	αἱ	χαρίεσσαι	τὰ χαρίεντα
Γεν.	τῶν	χαριέντων	τῶν	χαριεσσῶν	τῶν χαριέντων
Δοτ.	τοῖς	χαρίε**σι**(ν)	ταῖς	χαριέσσαις	τοῖς χαρίε**σι**(ν)
Αἰτ.	τοὺς	χαρίεντας	τὰς	χαριέσσας	τὰ χαρίεντα
Κλ.	ὦ	χαρίεντες	ὦ	χαρίεσσαι	ὦ χαρίεντα

Ἑνικὸς ἀριθμός.

Ὀν.	ὁ	λελυκὼς	ἡ	λελυκυῖα	τὸ λελυκὸς
Γεν.	τοῦ	λελυκότος	τῆς	λελυκυίας	τοῦ λελυκότος
Δοτ.	τῷ	λελυκότι	τῇ	λελυκυίᾳ	τῷ λελυκότι
Αἰτ.	τὸν	λελυκότα	τὴν	λελυκυῖαν	τὸ λελυκὸς
Κλ.	ὦ	λελυκὼς	ὦ	λελυκυῖα	ὦ λελυκός

Πληθυντικὸς ἀριθμός.

λελυκότες	λελυκυῖαι	λελυκότα
λελυκότων	λελυκυιῶν	λελυκότων
λελυκό**σι**	λελυκυίαις	λελυκό**σι**
λελυκότας	λελυκυίας	λελυκότα
λελυκότες	λελυκυῖαι	λελυκότα

Ἑνικὸς ἀριθμός.

Ὀν.	πᾶς	πᾶσα	πᾶν	ἑκών	ἑκοῦσα ἑκόν
Γεν.	παντὸς	πάσης	παντὸς	ἑκόντος	ἑκούσης ἑκόντος
Δοτ.	παντὶ	πάσῃ	παντὶ	ἑκόντι	ἑκούσῃ ἑκόντι
Αἰτ.	πάντα	πᾶσαν	πᾶν	ἑκόντα	ἑκοῦσαν ἑκόν
Κλ.	πᾶς	πᾶσα	πᾶν	ἑκών	ἑκοῦσα ἑκόν

Πληθυντικὸς ἀριθμός.

Ὀν.	πάντες	πᾶσαι	πάντα	ἑκόντες	ἑκοῦσαι ἑκόντα
Γεν.	πάντων	πασῶν	πάντων	ἑκόντων	ἑκουσῶν ἑκόντων
Δοτ.	πᾶ**σι**(ν)	πάσαις	πᾶ**σι**(ν)	ἑκοῦ**σι**(ν)	ἑκούσαις ἑκοῦ**σι**(ν)
Αἰτ.	πάντας	πάσας	πάντα	ἑκόντας	ἑκούσας ἑκόντα
Κλ.	πάντες	πᾶσαι	πάντα	ἑκόντες	ἑκοῦσαι ἑκόντα.

Ἡ γενικὴ πληθ. τοῦ *πᾶς, πᾶν* εἶναι **πάντων.**

© SISMANOGLIO

3) εἰς **ν.**

§ 179. Ταῦτα εἶναι δύο· τὸ **τάλας, τάλαινα, τάλαν** καὶ **μέλας, μέλαινα, μέλαν.**

Περὶ τῆς κλητικῆς τοῦ ἑνικοῦ ἴδε § 121.

Ἑνικὸς ἀριθμός.

Ον.	τάλας	τάλαινα	τάλαν	μέλας	μέλαινα	μέλαν
Γεν.	τάλανος	ταλαίνης	τάλανος	μέλανος	μελαίνης	μέλανος
Δοτ.	τάλανι	ταλαίνῃ	τάλανι	μέλανι	μελαίνῃ	μέλανι
Αἰτ.	τάλανα	τάλαιναν	τάλαν	μέλανα	μέλαιναν	μέλαν
Κλ.	τάλαν	τάλαινα	τάλαν	μέλαν	μέλαινα	μέλαν

Πληθυντικὸς ἀριθμός.

Ον.	τάλανες	τάλαιναι	τάλανα	μέλανες	μέλαιναι	μέλανα
Γεν.	ταλάνων	ταλαινῶν	ταλάνων	μελάνων	μελαινῶν	μελάνων
Δοτ.	τάλασι(ν	ταλαίναις	τάλασι(ν	μέλασι(ν	μελαίναις	μέλασι(ν
Αἰτ.	τάλανας	ταλαίνας	τάλανα	μέλανας	μελαίνας	μέλανα
Κλ.	τάλανες	τάλαιναι	τάλανα	μέλανες	μέλαιναι	μέλανα

β΄) Δικατάληκτα.

§ 180. Ταῦτα ὡς πρὸς τὸν χαρακτῆρα διαιροῦνται εἰς τὰ λήγοντα·

1) εἰς **ν**·
2) εἰς **σ**·
3) εἰς **δ** ἢ **τ** καὶ
4) εἰς **υ.**

Ταῦτα ἐσχηματίσθησαν καὶ ἐκλίθησαν ὡς καὶ τὰ οὐσιαστικά, τὰ ἔχοντα ὡς χαρακτῆρα ἓν ἐκ τῶν ἀνωτέρω γραμμάτων.

Παραδείγματα.

1) εἰς **ν.**

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	ἡ	εὐδαίμων	τὸ	**εὔδαιμον**
Γεν.	τοῦ	τῆς	εὐδαίμονος	τοῦ	εὐδαίμονος
Δοτ.	τῷ	τῇ	εὐδαίμονι	τῷ	εὐδαίμονι
Αἰτ.	τὸν	τὴν	εὐδαίμονα	τὸ	**εὔδαιμον**
Κλ.		ὦ	**εὔδαιμον**	ὦ	**εὔδαιμον.**

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ, αἱ	εὐδαίμονες	τὰ	εὐδαίμονα
Γεν.	τῶν	εὐδαιμόνων	τῶν	εὐδαιμόνων
Δοτ.	τοῖς ταῖς	εὐδαίμοσι(ν)	τοῖς	εὐδαίμοσι(ν)
Αἰτ.	τοὺς τὰς	εὐδαίμονας	τὰ	εὐδαίμονα
Κλ.	ὦ	εὐδαίμονες	ὦ	εὐδαίμονα.

§ 181. Ἡ ἑνικὴ κλητικὴ τοῦ ἀρσενικοῦ καὶ ἡ ἑνικὴ ὀνομαστική, αἰτιατικὴ καὶ κλητικὴ τοῦ οὐδετέρου τῶν εἰς **ν** δικαταλήκτων εἶναι ὁμοία μὲ τὸ θέμα καὶ **ἀναβιβάζει** τὸν τόνον· ἀλλ' ὅταν εἶναι σύνθετα, οὐχὶ πέραν τῆς τελευταίας συλλαβῆς τοῦ πρώτου συνθετικοῦ. Τὸ **ἐπιλήσμων** καὶ **ἐπιστήμων** δὲν ἀναβιβάζουσι τὸν τόνον.

Ἡ δοτικὴ πληθυντικὴ ἐσχηματίσθη ἄνευ ἐκτάσεως ἀναπληρωματικῆς μετὰ τὴν ἀποβολὴν τοῦ **ν** πρὸ τοῦ **σ.**

2) εἰς **σ.**

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	ἡ	ἀληθὴς	τὸ	ἀληθὲς
Γεν.	τοῦ	τῆς	ἀληθ(έ-ος)οῦς	τοῦ	ἀληθ(έ-ος) οῦς
Δοτ.	τῷ	τῇ	ἀληθ(έ-ῐ) εῖ	τῷ	ἀληθ(έ-ῐ) εῖ
Αἰτ.	τὸν	τὴν	ἀληθ(έ-α) ῆ	τὸ	ἀληθὲς
Κλ.		ὦ	ἀληθὲς	ὦ	ἀληθὲς

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	αἱ	ἀληθ(έ-ες) εῖς	τὰ	ἀληθ(έ-α) ῆ
Γεν.	τῶν		ἀληθ(έ-ων)ῶν	τῶν	ἀληθ(έ-ων) ῶν
Δοτ.	τοῖς	ταῖς	ἀληθέσι (ν)	τοῖς	ἀληθέσι (ν)
Αἰτ.	τοὺς	τὰς	ἀληθεῖς	τὰ	ἀληθ(έ-α) ῆ
Κλ.	ὦ		ἀληθεῖς	ὦ	ἀληθ(έ-α) ῆ

Ἑνικὸς ἀριθμός.

Ον.	ὁ	ἡ	συνήθης	τὸ	σύνηθες
Γεν.	τοῦ	τῆς	συνήθ(ε-ος) ους	τοῦ	συνήθ(ε-ος)ους
Δοτ.	τῷ	τῇ	συνήθ(ε-ῐ) ει	τῷ	συνήθ(ε-ῐ) ει
Αἰτ.	τὸν	τὴν	συνήθ(ε-α) η	τὸ	σύνηθες
Κλ.		ὦ	σύνηθες	ὦ	σύνηθες

SISMANOGLIO MISSANO

Πληθυντικὸς ἀριθμός.

Ὀν.	οἱ	αἱ	συνήθ(εες) εις	τὰ	συνήθ(εα) η
Γεν.	τῶν		συνηθ(έ·ων)ων	τῶν	συνηθ(έ·ων)ων
Δοτ.	τοῖς	ταῖς	**συνήθεσι**	τοῖς	**συνήθεσι**
Αἰτ.	τοὺς	τὰς	συνήθεις	τὰ	συνήθη
Κλ.		ὦ	συνήθεις	ὦ	συνήθη.

§ 182. Πάντα τὰ σύνθετα βαρύτονα ἐπίθετα εἰς ης καὶ τὸ *πλήρης* ἐν τῇ πληθυντικῇ γενικῇ τονίζονται ἐπὶ τῆς παραληγούσης παρὰ τὸν κανόνα (τίνα;).

Τὰ εἰς *ήθης* ἀναβιβάζουσι τὸν τόνον καὶ ἐν τῇ ἑνικῇ κλητικῇ τοῦ ἀρσενικοῦ καὶ τῇ ἑνικῇ ὀνομαστικῇ, αἰτιατικῇ καὶ κλητικῇ τοῦ οὐδετέρου· π. χ. **εὔηθες, σύνηθες, ἄηθες, κακόηθες.**

§ 183. Ὅσα ἐκ τῶν εἰς **ης** ἐπιθέτων ἔχουσι φωνῆεν πρὸ τοῦ **ης** συναιροῦσι τὸ **εα** εἰς **α**.

Παραδείγματα.

εὐῤῥυής *Αἰτ.* **εὐῤῥυ(έ·α) — εὐῤῥυῆ καὶ εὐῤῥυᾶ**
Πληθ. *Ὀν. Αἰτ. Κλτ.* οὐδετ. **εὐῤῥυῆ καὶ εὐῤῥυᾶ.**
ὑγιής *Αἰτ.* **ὑγι(έ·α) — ὑγιῆ καὶ ὑγιᾶ**
Πληθ. *Ὀν. Αἰτ. Κλτ.* οὐδετ. **ὑγιῆ καὶ ὑγιᾶ.**
εὐκλεής *Αἰτ.* **εὐκλε(έ·α) — εὐκλεῆ καὶ εὐκλεᾶ**
Πληθ. *Ὀν. Αἰτ. Κτλ.* οὐδετ. **εὐκλεῆ καὶ εὐκλεᾶ.**

3) εἰς **δ** ἢ **τ**.

Ἑνικὸς ἀριθμός.

Ὀν.	ὁ	ἡ	εὔελπις	τὸ	εὔελπι
Γεν.	τοῦ	τῆς	εὐέλπιδος	τοῦ	εὐέλπιδος
Δοτ.	τῷ	τῇ	εὐέλπιδι	τῷ	εὐέλπιδι
Αἰτ.	τὸν	τὴν	εὐέλπιδα	τὸ	εὔελπι
Κλ.		ὦ	εὔελπι	ὦ	εὔελπι

Πληθυντικὸς ἀριθμός.

Ὀν.	οἱ	αἱ	εὐέλπιδες	τὰ	εὐέλπιδα
Γεν.	τῶν		εὐελπίδων	τῶν	εὐελπίδων
Δοτ.	τοῖς	ταῖς	εὐέλπισι (ν)	τοῖς	εὐέλπισι
Αἰτ.	τοὺς	τὰς	εὐέλπιδας	τὰ	εὐέλπιδα
Κλ.		ὦ	εὐέλπιδες	ὦ	εὐέλπιδα.

Ἑνικὸς ἀριθμός.

Ὀν.	ὁ	ἡ	ἄχαρις	τὸ	ἄχαρι
Γεν.	τοῦ	τῆς	ἀχάριτος	τοῦ	ἀχάριτος
Δοτ.	τῷ	τῇ	ἀχάριτι	τῷ	ἀχάριτι
Αἰτ.	τὸν	τὴν	ἄχαριν	τὸ	ἄχαρι
Κλ.		ὦ	ἄχαρι	ὦ	ἄχαρι

Πληθυντικὸς ἀριθμός.

Ὀν.	οἱ	αἱ	ἀχάριτες	τὰ	ἀχάριτα
Γεν.	τῶν		ἀχαρίτων	τῶν	ἀχαρίτων
Δοτ.	τοῖς	ταῖς	ἀχάρισι (ν)	τοῖς	ἀχάρισι (ν)
Αἰτ.	τοὺς	τὰς	ἀχάριτας	τὰ	ἀχάριτα
Κλ.		ὦ	ἀχάριτες	ὦ	ἀχάριτα.

4) εἰς **υ**.

Ἑνικὸς ἀριθμός.

Ὀν.	ὁ	ἡ	τρίπηχυς	τὸ	τρίπηχυ
Γεν.	τοῦ	τῆς	τριπήχεος	τοῦ	τριπήχεος
Δοτ.	τῷ	τῇ	τριπήχ(ε·ῑ)ει	τῷ	τριπήχ(ε·ῑ)ει
Αἰτ.	τὸν	τὴν	τρίπηχυν	τὸ	τρίπηχυ
Κλ.		ὦ	τρίπηχυ	ὦ	τρίπηχυ.

Πληθυντικὸς ἀριθμός.

Ὀν.	οἱ	αἱ	τριπήχ(εες)εις	τὰ	τριπήχ(εα)η
Γεν.		τῶν	**τριπήχεων**	τῶν	**τριπήχεων**
Δοτ.	τοῖς	ταῖς	τριπήχεσι(ν)	τοῖς	τριπήχεσι(ν)
Αἰτ.	τοὺς	τὰς	**τριπήχεις**	τὰ	**τριπήχη**
Κλ.		ὦ	**τριπήχεις**	ὦ	**τριπήχη**

SISMANOGLIO MEGARO

γ΄) Μονοκατάληκτα

§ 184. Ταῦτα εἶναι διγενῆ καὶ ἔχουσι χαρακτῆρα συνήθως ***ἄφωνον*** ἢ ***ἔρρινον***· κλίνονται δὲ καθὼς τὰ οὐσιαστικά, τὰ ἔχοντα τὸν αὐτὸν χαρακτῆρα. Τὰ συνηθέστατα ἐκ τῶν μονοκαταλήκτων ἐπιθέτων εἶναι·

1)	ὁ ἡ	ἅρπαξ	γεν.	τοῦ	τῆς	ἅρπαγος
2)	»	ἀλαζών	»	»		ἀλαζόνος
3)	»	φυγάς	»	»		φυγάδος
4)	»	νομάς	»	»		νομάδος
5)	»	λογάς	»	»		λογάδος
6)	»	μιγάς	»	»		μιγάδος
7)	»	πένης	»	»		πένητος
8)	»	βλάξ	»	»		βλακός
9)	»	μονόχειρ	»	»		μονόχειρος
10)	»	ἀγνώς	»	»		ἀγνῶτος
11)	»	ἡμιθνής	»	»		ἡμιθνῆτος
12)	»	πλάνης	»	»		πλάνητος.

ΑΣΚΗΣΙΣ 20.

Παροιμίαι διάφοροι.

Εὐγενὴς *ἐκ βαλλαντίου* λεγομένη ἐπὶ τῶν νομιζόντων ὅτι εἶναι εὐγενεῖς ἕνεκα πλούτου.

Εὐδαίμων *ὁ μηδενὶ μηδὲν ὀφείλων, εἶτα ὁ ἄγαμος, τὸ τρίτον, ὅστις ἄπαις* (ἄτεκνος).

Εὐήθει *δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ*· λεγομένη ἐν τῇ περιστάσει, καθ' ἣν δὲν πρέπει νὰ δίδῃ τις θάρρος εἰς τοὺς ἀνοήτους.

Ἡδὺ (πρᾶγμα) ***φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις***.

Γλυκὺς *ἀπείρῳ πόλεμος*· λεγομένη ἐπὶ τῶν ἐξ ἀπειρίας εἰς κινδύνους ὁρμώντων.

Ἥλιξ ἥλικα (ὁ ὅμοιος τὸν ὅμοιον) ***τέρπει***.

Πάντα *λίθον κινεῖ*· λεγομένη ἐπὶ τῶν μεγάλην προθυμίαν δεικνυόντων.

Πάντων *ἥδιστον ἡ φιλία*.

Ἄκων *ἁμαρτὼν* (ὅταν περιπέσῃ εἰς σφάλμα) ***οὐδεὶς ἀνθρώπων κακός***.

Μέγα *τὸ στόμα τοῦ ἐνιαυτοῦ*· λεγομένη ἐν τῇ περιστάσει, καθ' ἣν πάντες (**ἀλλοιώτικα κουβεντιάζουν**), εὐφορίας γενομένης.

Τὰ παραθετικὰ τῶν κατὰ τὴν λεγομένην γ΄ κλίσιν κλινομένων ἐπιθέτων.

§ 185. Τὰ παραθετικὰ τῶν κατὰ τὴν κλίσιν ταύτην κλινομένων ἐπιθέτων τῆς ἀρχαίας ἐσχηματίσθησαν διὰ τῆς προσθήκης εἰς τὸ ***θέμα*** τοῦ ἀρσενικοῦ γένους τῶν παραθετικῶν καταλήξεων, τὰς ὁποίας ἴδε ἐν § 69.

Παραδείγματα.

	θέμα	*συγκριτικόν*	*ὑπερθετικόν*
βραχὺς	βραχυ	βραχύτερος	βραχύτατος
μέλας	μελαν	μελάντερος	μελάντατος
σαφὴς	σαφεσ	σαφέστερος	σαφέστατος.

§ 186. Τὰ εἰς ***ων*** γεν. ***ονος*** ἐπίθετα σχηματίζουσι τὰ παραθετικὰ αὐτῶν διὰ τῆς προσθήκης τῶν καταλήξεων ***έστερος, έστατος***· π. χ.

	θέμα	*συγκριτικόν*	*ὑπερθετικόν*
εὐδαίμων	εὐδαιμον	εὐδαιμονέστερος	εὐδαιμονέστατος
σώφρων	σωφρον	σωφρονέστερος	σωφρονέστατος.

§ 187. Τοῦ χαρίεις τὰ παραθετικὰ εἶναι ***χαριέστερος, χαριέστατος***.

Τοῦ πένης ***πενέστερος, πενέστατος***.

Τὸ ἄχαρις, ***ἀχαρίστερος, ἀχαρίστατος***.

Τοῦ εὔχαρις καὶ ἐπίχαρις ***εὐχαριτώτερος, εὐχαριτώτατος***· ***ἐπιχαριτώτερος, ἐπιχαριτώτατος***.

Τὰ ἐπίθετα ταχὺς : αἰ ἡδὺς σχηματίζουσι τὰ παρα-

SISMANOGLIO MEGARO

θετικὰ αὐτῶν διὰ τῆς προσλήψεως τῶν σπανιωτέρων παραθετικῶν καταλήξεων, αἵτινες εἶναι:

συγκρ. **ίων, ιον**· ὑπερθ. **ιστος, ίστη, ιστον.**

π. χ. ταχύς, συγκρ. ὁ ἡ **θάττων (θάσσων)**, τὸ **θᾶττον (θᾶσσον)**· ὑπερθ. **τάχιστος, η, ον**· ἀλλὰ καὶ **ταχύτερος, α, ον, ταχύτατος, η, ον**·

ἡδύς· ὁ, ἡ **ἡδίων**, τὸ **ἥδιον**· **ἥδιστος, η, ον.**

Καὶ τὰ ἐπίθετα **αἰσχρός, ἐχθρὸς** καὶ **κακὸς** ἐσχημάτισαν παραθετικὰ καὶ μὲ τὰς σπανιωτέρας ταύτας καταλήξεις· ἤτοι ὁ, ἡ **αἰσχίων**, τὸ **αἴσχιον**· **αἴσχιστος, η, ον**· ὁ ἡ **ἐχθίων**, τὸ **ἔχθιον**· **ἔχθιστος, η, ον**· ὁ ἡ **κακίων**, τὸ **κάκιον**· **κάκιστος, η, ον.**

§ 188. Τὸ συγκριτικὸν τούτων κλίνεται κατὰ τὰ δικατάληκτα εἰς **ων** γεν. **ονος** ἐπίθετα π. χ.

Ἑνικὸς ἀριθμός.

	Ἀρσ. καὶ θηλυκὸν			Οὐδέτερον	
Ον.	ὁ	ἡ	ἡδίων	τὸ	ἥδιον
Γεν.	τοῦ	τῆς	ἡδίονος	τοῦ	ἡδίονος
Δοτ.	τῷ	τῇ	ἡδίονι	τῷ	ἡδίονι
Αἰτ.	τὸν	τὴν	ἡδίονα καὶ ἥδιω	τὸ	ἥδιον
Κλ.	ὦ		ἥδιον	ὦ	ἥδιον

Πληθυντικὸς ἀριθμός.

Ον.	οἱ	αἱ	ἡδίονες καὶ ἥδιους	τὰ	ἡδίονα καὶ ἥδιω
Γεν.		τῶν	ἡδιόνων	τῶν	ἡδιόνων
Δοτ.	τοῖς	ταῖς	ἡδίοσι(ν)	τοῖς	ἡδίοσι(ν)
Αἰτ.	τοὺς	τὰς	ἡδίονας καὶ ἥδιους	τὰ	ἡδίονα καὶ ἥδιω
Κλ.	ὦ		ἡδίονες καὶ ἥδιους	ὦ	ἡδίονα καὶ ἥδιω.

Ταῦτα εἰς τὴν ἑνικὴν αἰτιατικὴν τοῦ ἀρσενικοῦ καὶ εἰς τὴν ὀνομαστικήν, αἰτιατικὴν καὶ κλητικὴν τοῦ ἀρσενικοῦ, θηλυκοῦ καὶ οὐδετέρου ἔχουσιν, ὡς βλέπομεν, καὶ βραχυτέρους τύπους.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

'Ανώμαλος κλίσις τῶν ἐπιθέτων πολύς, μέγας, πρᾶος καὶ σῶς-

§ 189. Ἐκ τῶν τρικαταλήκτων ἐπιθέτων τὰ μὲν πολὺς καὶ μέγας ἐσχημάτισαν **ἀνωμάλως** τὰ τρία γένη αὐτῶν καὶ ἐκλίθησαν οὕτως·

Ἑνικὸς ἀριθμός.

	Ἀρσ.	Θηλ.	Οὐδ.	Ἀρσ.	Θηλ.	Οὐδ.
Ον.	πολύς	πολλὴ	πολύ	μέγας	μεγάλη	μέγα
Γεν.	πολλοῦ	πολλῆς	πολλοῦ	μεγάλου	μεγάλης	μεγάλου
Δοτ.	πολλῷ	πολλῇ	πολλῷ	μεγάλῳ	μεγάλῃ	μεγάλῳ
Αἰτ.	πολύν	πολλὴν	πολύ	μέγαν	μεγάλην	μέγα
Κλ.	πολύ	πολλὴ	πολύ	μέγα καὶ μεγάλε	μεγάλη	μέγα

Πληθυντικὸς ἀριθμός.

Ον.	πολλοί	πολλαί	πολλά	μεγάλοι	μεγάλαι	μεγάλα
Γεν.	πολλῶν	πολλῶν	πολλῶν	μεγάλων	μεγάλων	μεγάλων
Δοτ.	πολλοῖς	πολλαῖς	πολλοῖς	μεγάλοις	μεγάλαις	μεγάλοις
Αἰτ.	πολλούς	πολλάς	πολλά	μεγάλους	μεγάλας	μεγάλα
Κλ.	πολλοί	πολλαί	πολλά	μεγάλοι	μεγάλαι	μεγάλα

Τὰ δὲ ἐπίθετα **πρᾶος** καὶ **σῶς** ἐκλίθησαν οὕτως:

Ἑνικὸς ἀριθμός.

Ον.	πρᾶος	πραεῖα	πρᾶον	ὁ ἡ σῶς	τὸ σῶν
Γεν.	πράου	πραείας	πράου	ἐκ τοῦ ἐπιθ. σῶος, σῶα, σῶον
Δοτ.	πράῳ	πραείᾳ	πράῳ	» » »	» »
Αἰτ.	πρᾶον	πραεῖαν	πρᾶον	τὸν τὴν σῶν	τὸ σῶν
Κλ.	πρᾶε	πραεῖα	πρᾶον		

Πληθυντικὸς ἀριθμός.

Ον.	πρᾶοι	πραεῖαι	πραέα	οἱ αἱ σῷ	τὰ σᾶ
Γεν.	πραέων	πραειῶν	πραέων	ἐκ τοῦ ἐπιθ. σῶος, σῶα, σῶον
Δοτ.	πραέσι	πραείαις	πραέσι	» » »	» »
Αἰτ.	πράους	πραείας	πραέα	τοὺς τὰς σῶς	τὰ σᾶ
Κλ.	πρᾶοι	πραεῖαι	πραέα		

SISMANOGLIO MEGARO

Τὰ *παραθετικὰ* τοῦ μὲν **πολὺς** εἶναι·
συγκρ. ὁ, ἡ *πλείων*[1], τὸ *πλεῖον*[2], *ὑπερθ. πλεῖστος, πλείστη, πλεῖστον*· τοῦ δὲ **μέγας** εἶναι·
συγκρ. ὁ, ἡ *μείζων*, τὸ *μεῖζον*, *ὑπερθ. μέγιστος, μεγίστη, μέγιστον*. Τὸ συγκριτικὸν τοῦ *πολὺς* κλίνεται οὕτω:

Ἀρσ. καὶ θηλ. Ἑν. Ὀν. ὁ, ἡ *πλείων*, Γεν. *πλείονος*, Δοτ. *πλείονι*, Αἰτ. *πλείονα* καὶ **πλείω**, Κλ. *πλεῖον*.
Πλ. Ὀν. οἱ *πλείονες* καὶ **πλείους**, Γεν. *πλειόνων*, Δοτ. *πλείοσι(ν)* Αἰτ. *πλείονας* καὶ **πλείους**, Κλ. *πλείονες* καὶ **πλείους**.
Οὐδέτ. Ἑν. Ὀν., Αἰτ. καὶ Κλ. *πλεῖον*, Γεν. *πλείονος*, Δοτ. *πλείονι*.
Πληθ. Ὀν. Αἰτ., καὶ Κλ. *πλείονα* καὶ **πλείω**, Γεν. *πλειόνων*, Δοτ. *πλείοσι(ν)*.

ΑΣΚΗΣΙΣ 21

Ἐκ τῆς διδασκαλίας τοῦ Σωκράτους.

Γραφαὶ (Ζωγραφίαι) καὶ ποικιλίαι ἐν ταῖς οἰκίαις **πλείονας** εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσιν. — Νοσοῖς καὶ βωμοῖς **πρεπωδεστάτη** χώρα ἐστίν, ἧτις **ἐμφανεστάτη** καὶ **ἀστιβεστάτη** (καὶ τὴν ὁποίαν ὅλως διόλου δὲν **πατοῦν**). — Ἄνθρωπος ἀκρατὴς οὐδὲν διαφέρει θηρίου **ἀμαθεστάτου**· ὅστις γὰρ τὰ μὲν **ἥδιστα** μὴ σκοπεῖ, τὰ **ἥδιστα** δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν **ἀφρονεστάτων** βοσκημάτων; Τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, **θεοσεβέστατά ἐστι**, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν **ἐπιμελέστανται**. — **Μείζω** καὶ **πλείω** καλὰ ἔργα προγόνων μόνοις τοῖς Ἀθηναίοις ὑπάρχει. — Τὸ μὲν θάρρος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους καὶ **εὐπειθεστέρους** καὶ εὐτακτοτέρους ποιεῖ τοὺς ἀνθρώπους.

---

1 καὶ *πλέων*. 2 καὶ *πλέον, πλεῖν*.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

Συζυγία τῶν εἰς ω.

Μέση φωνὴ τῶν βαρυτόνων.

Παρακείμενος, Ὑπερσυντελικὸς καὶ Τετελεσμένος Μέλλων.

§ 191. Ἐπανάλαβε τὰ περὶ ἀναδιπλασιασμοῦ, τὰ ὁποῖα ἴδε ἐν § 161.

§ 192. Ὁ μέσος παρακείμενος πάντων τῶν βαρυτόνων τῆς ἀρχαίας ἐσχηματίσθη ἐν μὲν τῇ Ὁριστικῇ, Προστακτικῇ, Ἀπαρεμφάτῳ καὶ Μετοχῇ ***μονολεκτικῶς***, ἐν δὲ τῇ Ὑποτακτικῇ καὶ Εὐκτικῇ *περιφραστικῶς* διὰ τῆς Μετοχῆς τοῦ μέσου παρακειμένου καὶ τοῦ ἐνεστῶτος τῆς Ὑποτακτικῆς καὶ Εὐκτικῆς τοῦ ῥήματος ***εἰμί***.

§ 193. Καὶ ὁ μέσος ὑπερσυντελικὸς τῆς ἀρχαίας ἐσχηματίσθη ***μονολεκτικῶς***.

Αἱ προσωπικαὶ καταλήξεις τοῦ μὲν μέσου παρακειμένου ἐν τῇ *Ὁριστικῇ* εἶναι:

Ἐν τῷ ἑν. α' **μαι**, β' **σαι**, γ' **ται**
» » πλ. » **μεθα**, » **σθε**, » **νται** ἢ **μένοι, αι, α εἰσί(ν)**

Τοῦ δὲ ὑπερσυντελικοῦ εἶναι:

Ἐν τῷ ἑν. α' **μην**, β' **σο**, γ' **το**
» » πλ. » **μεθα**, » **σθε**, » **ντο** ἢ **μένοι, αι, α ἦσαν**

Παραδείγματα.

α') Φωνηεντολήκτων.

Ἐνικὸς ἀριθμός.

Παρακ. α'	**λέ-λυ-μαι**	**πε-παίδευ-μαι**	**ἐ-στράτευ-μαι**
β'	**λέ-λυ-σαι**	**πε-παίδευ-σαι**	**ἐ-στράτευ-σαι**
γ'	**λέ-λυ-ται**	**πε-παίδευ-ται** κτλ.	**ἐ-στράτευ-ται** κτλ.

SISMANOGLIO

Πληθυντικὸς ἀριθμός.

α΄ λε-λύ-μεθα
β΄ λέ-λυ-σθε
γ΄ λέ-λυ-νται καὶ
λε-λυ-μένοι, αι, α εἰσί (ν)

Ὑπερσ.	α΄	ἐ-λελύ-μην	ἐ-πε-παιδεύ-μην	ἐ-στρατεύμην
	β΄	ἐ-λέ-λυ-σο	ἐ-πε-παίδευσο	ἐ-στράτευσο
	γ΄	ἐ-λέ-λυ-το	ἐ-πε-παίδευτο κτλ.	ἐ-στράτευ-το κτλ.
	α΄	ἐ-λε-λύ-μεθα		
	β΄	ἐ-λέ-λυ-σθε		
	γ΄	ἐ-λέ-λυ-ντο.		

§ 194. Τὸ γ΄ πληθυντικὸν πρόσωπον τοῦ μέσου παρακειμένου καὶ τοῦ ὑπερσυντελικοῦ ἐν τῇ Ὁριστικῇ σχηματίζεται ἐν μὲν τοῖς φωνηεντολήκτοις καὶ ***περιφραστικῶς*** ἐν δὲ τοῖς ἀφωνολήκτοις, ὑγρολήκτοις καὶ ἐρρινολήκτοις ***πάντοτε περιφραστικῶς.***

β΄) ἀφωνολήκτων.

§ 195. Ὁ χαρακτὴρ τοῦ ῥηματικοῦ θέματος τῶν ἀφωνολήκτων πρὸ τῶν καταλήξεων τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελικοῦ ἔπαθε τὰς ἑξῆς μεταβολάς.

1) Τὸ **τ, δ** καὶ **θ** πρὸ μὲν τοῦ **σ** ἀπεβλήθη· πρὸ δὲ τοῦ **μ** ἢ **τ** ἐτράπη εἰς **σ**· π. χ.

Ἐνικὸς ἀριθμός.

		θ. πειθ.	θ. ἀφανιδ.
Παρακ.	α΄	πέ-πεισ-μαι	ἠφάνισ-μαι
	β΄	πέ-πει-σαι	ἠφάνι-σαι
	γ΄	πέ-πεισ-ται	ἠφάνισ-ται κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ πε-πείσ-μεθα
β΄ πέ-πει-σθε
γ΄ πε-πεισ-μένοι, αι, α, εἰσί (ν)

Ὑπερσ.	α΄	ἐ-πε-πείσ-μην	ἠ-φανίσ-μην
	β΄	ἐ-πέ πει-σο	ἠ-φάνι-σο
	γ΄	ἐ-πέ-πεισ-το	ἠ-φάνισ-το κτλ.
	α΄	ἐ-πε-πείσ-μεθα	
	β΄	ἐ-πέ-πει-σθε	
	γ΄	πε-πεισ-μένοι, αι, α ἦσαν.	

2) Τὸ *π, β, φ* πρὸ τοῦ *μ* ἐτράπη εἰς *μ*· μετὰ δὲ τοῦ *σ* ἡνώθη εἰς *ψ*.

3) Τὸ μὲν *β* καὶ *φ* πρὸ τοῦ **τ** ἐτράπη εἰς *π*· τὸ δὲ *π* καὶ *β*, μετὰ τὴν ἀποβολὴν τοῦ *σ* τῶν ἀπὸ *σθ* ἀρχομένων καταλήξεων, ἐτράπη εἰς *φ*· π. χ.

Ἐνικὸς ἀριθμός.

		θ. τριβ.	θ. γραφ.	θ. ῥιπ.
Παρακ.	α΄	τέ-τριμ-μαι	γέ-γραμ-μαι	ἔρ-ριμ-μαι
	β΄	τέ-τριψ-αι	γέ-γραψ-αι	ἔρ-ριψ-αι
	γ΄	τέ-τριπ-ται	γέ-γραπ-ται κτλ.	ἔρ-ριπ-ται κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ τε-τρίμ-μεθα
β΄ τέ-τριφ-θε
γ΄ τε-τριμ-μένοι, αι, α εἰσί(ν)

Ἐνικὸς ἀριθμός.

Ὑπερσ.	α΄	ἐ-τε-τρίμ-μην	ἐ-γε-γράμ-μην	ἐρ-ρίμ-μην
	β΄	ἐ-τέ-τριψ-ο	ἐ-γέγραψ-ο	ἔρ-ριψ-ο
	γ΄	ἐ-τέ-τριπ-το	ἐ-γέ-γραπ-το κτλ.	ἔρ-ριπ-το κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ ἐ-τε-τρίμ-μεθα
β΄ ἐ-τέτριφθε
γ΄ τε-τριμ-μένοι, αι, α ἦσαν.

Οἱ παθητικοὶ παρακείμενοι καὶ ὑπερσυντελικοὶ τῶν ῥημάτων ***τρέπω, τρέφω*** καὶ ***στρέφω*** εἶναι· ***τέτραμμαι, ἐτετράμμην· τέθραμμαι, ἐτεθράμμην*** καὶ ***ἔστραμμαι, ἐστράμμην.***

SISMANOGLIO MEGARO

4) Τὸ **κ** καὶ **χ** πρὸ τοῦ **μ** ἐτράπη εἰς **γ**· τὸ δὲ **κ, γ, χ** μετὰ τοῦ **σ** ἡνώθη εἰς **ξ**.

Τὸ **γ** καὶ **χ** πρὸ τοῦ **τ** ἐτράπη εἰς **κ**· τὸ δὲ **κ** καὶ **γ**, μετὰ τὴν ἀποβολὴν τοῦ **σ** τῶν ἀπὸ **σθ** ἀρχομένων καταλήξεων, ἐτράπη εἰς **χ**. π. χ.

Ἑνικὸς ἀριθμός.

	θ. ἀγ	θ. βρεχ	θ. πλεκ
Παρακ.	α΄ ἦγ-μαι	βέ-βρεγ-μαι	πέ-πλεγ-μαι
	β΄ ἦξαι	βέ-βρεξαι	πέ-πλεξαι
	γ΄ ἦκ-ται	βέ-βρεκ-ται κτλ	πέ-πλεκ-ται κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ ἦγ-μεθα
β΄ ἦχ-θε
γ΄ ἠγ-μένοι, αι, α, εἰσί (ν)

Ἑνικὸς ἀριθμός.

Ὑπερσ.	α΄ ἦγ-μην	ἐ-βε-βρέγμην	ἐ-πε-πλέγμην
	β΄ ἦξο	ἐ-βέ-βρεξο	ἐ-πέ-πλεξο
	γ΄ ἦκ-το	ἐ-βέ-βρεκ-το κτλ	ἐ-πέ-πλεκ-το κτλ.

Πληθυντικὸς ἀριθμός.

α΄ ἦγ-μεθα
β΄ ἦχ-θε
γ΄ ἠγ-μένοι, αι, α ἦσαν.

ΥΠΟΤΑΚΤΙΚΗΣ

Ἑνικὸς	λε-λυμένος, η, ον,	α΄	ὦ,
	πε-πεισμένος, » »	β΄	ῇς
	τε-τριμμένος, » »	γ΄	ῇ
	ἠγ-μένος, » »		
Πληθ.	λε-λυμένοι, αι, α,	α΄	ὦμεν
	πε-πεισμένοι, » »	β΄	ἦτε
	τε-τριμμένοι, » »	γ΄	ὦσι (ν).
	ἠγ-μένοι, » »		

ΕΥΚΤΙΚΗΣ

Ἑνικὸς	λε-λυμένος, η, ον,	α΄	εἴην
	πε-πεισμένος, » »	β΄	εἴης
	τε-τριμμένος, » »	γ΄	εἴη
	ἠγ-μένος, » »		
Πληθ.	λε-λυμένοι, αι, α,	α΄	εἴημεν καὶ εἶμεν
	πε-πεισμένοι, » »	β΄	εἴητε » εἶτε
	τε-τριμμένοι, » »	γ΄	εἴησαν » εἶεν
	ἠγ-μένοι, » »		

ΠΡΟΣΤΑΚΤΙΚΗΣ

§ 197. Αἱ προσωπικαὶ καταλήξεις τοῦ μέσου παρακειμένου ἐν τῇ Προστακτικῇ εἶναι·

Ἐν τῷ *ἑνικῷ* β΄ πρόσ. **σο** γ΄ **σθω**
» » *πληθ.* » » **σθε** » **σθων** ἢ **σθωσαν.**

§ 198. Αἱ εἰς τὸν χαρακτῆρα τῶν ἀφωνολήκτων σημειωθεῖσαι μεταβολαὶ κατὰ τὸν σχηματισμὸν τοῦ μέσου παρακειμένου ἐν τῇ Ὁριστικῇ, συμβαίνουσι καὶ ἐν τῇ Προστακτικῇ.

Παραδείγματα.

Ἑνικὸς β΄	λέ-λυ-σο	πε-πεισο	τέ-τριῖ̯ο	ἦξο
γ΄	λε-λύ-σθω	πε-πείσθω	τε-τρί-ῖ̯θω	ἦχ-θω
Πληθ. β΄	λέ-λυ-σθε	πέ-πεισθε	τέ-τριῖ̯θε	ἦχθε
» γ	λε-λύ-σθων	πε-πείσθων	τετρίῖ̯θων	ἦχθων
	ἢ λελύσθωσαν	ἢ πεπείσθωσαν	ἢ τετρίφθωσαν	ἢ ἦχθωσαν

ΑΠΑΡΕΜΦΑΤΟΥ καὶ ΜΕΤΟΧΗΣ.

§ 199. Ἡ κατάληξις τοῦ μέσου παρακειμένου ἐν μὲν τῷ Ἀπαρεμφάτῳ εἶναι ***σθαι,*** ἐν δὲ τῇ Μετοχῇ ***μένος, μένη, μένον.***

Παραδείγματα.

λε-λύ-σθαι	πε-πεῖσθαι	τε-τρῖῖ̯θαι	ἦχθαι.
λελυμένος, η, ον,	πεπεισμένος, η, ον	τετριμμένος, η, ον	
	ἠγμένος, η, ον.		

SISMANOGLIO MEGARO

γ΄) Ὑγρολήκτων καὶ ἐρρινολήκτων.

§ 200. Κατὰ τὸν σχηματισμὸν τοῦ μέσου παρακειμένου καὶ ὑπερσυντελίκου τῶν ὑγρολήκτων καὶ ἐρρινολήκτων *ἀπεβλήθη* τὸ **σ** τῶν ἀπὸ **σθ** ἀρχομένων καταλήξεων πρὸ τοῦ ὑγροῦ ἢ ἐρρίνου χαρακτῆρος.

§ 201. Ἐν τοῖς ἐρρινολήκτοις τὸ **ν** πρὸ τῶν ἀπὸ **μ** ἀρχομένων καταλήξεων ἐτράπη εἰς **σ**.

Παραδείγματα.

ΟΡΙΣΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

Παρακείμενος	θέμα ἀγγελ-	θέμα στελ-[1]	θέμα φαν	θέμα φθερ-[1]
	α΄ ἤγγελμαι	ἔσταλμαι	πέφασμαι	ἔφθαρμαι
	β΄ ἤγγελσαι	ἔσταλσαι	πέφανσαι	ἔφθαρσαι
	γ΄ ἤγγελται	ἔσταλται	πέφανται	ἔφθαρται

Πληθυντικὸς ἀριθμός.

	α΄ ἠγγέλμεθα	ἐστάλμεθα	πεφάσμεθα	ἐφθάρμεθα
	β΄ ἤγγελθε	ἔσταλθε	πέφανθε	ἔφθαρθε
	γ΄ ἠγγελμένοι, αι, α εἰσί(ν)	ἐσταλμένοι, αι, α εἰσί(ν)	πεφασμένοι, αι, α εἰσί(ν)	ἐφθαρμένοι, αι, α εἰσί(ν)

Ἑνικὸς ἀριθμός.

Ὑπερσυντελικός	α΄ ἠγγέλμην	ἐστάλμην	ἐφθάρμην	ἐπεφάσμην
	β΄ ἤγγελσο	ἔσταλσο	ἔφθαρσο	ἐπέφανσο
	γ΄ ἤγγελτο	ἔσταλτο κτλ.	ἔφθαρτο κτλ.	ἐπέφαντο.

Πληθυντικὸς ἀριθμός.

	α΄ ἠγγέλμεθα			ἐπεφάσμεθα
	β΄ ἤγγελθε			ἐπέφανθε
	γ΄ ἠγγελμένοι, αι, α ἦσαν			πεφασμένοι, αι, α ἦσαν

ΥΠΟΤΑΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

ἠγγελμένος, η, ον· ἐσταλμένος, η, ον· πεφασμένος, η, ον· ἐφθαρμένος, η, ον **ὦ, ᾖς, ᾖ** κτλ.

1. Τὰ μονοσύλλαβα ὑγρόληκτα καὶ ἐρρινόληκτα θέματα, τὰ ἔχοντα **ε** πρὸ τοῦ χαρακτῆρος, ἔτρεψαν αὐτὸ ἐν τῷ μέσῳ παρακ. καὶ ὑπερσυντελικῷ εἰς **α**.

ΕΥΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

ἠγγελμένος, η, ον· ἐσταλμένος, η, ον· πεφασμένος, η, ον· ἐφθαρμένος, η, ον **εἴην, εἴης, εἴη** κτλ.

ΠΡΟΣΤΑΚΤΙΚΗΣ.

Ἑνικὸς ἀριθμός.

β΄	ἤγγελσο	ἔσταλσο	ἔφθαρσο	πέφανσο
γ΄	ἠγγέλθω	ἐστάλθω κτλ.	ἐφθάρθω κτλ.	πεφάνθω

Πληθυντικὸς ἀριθμός.

β΄	ἤγγελθε		πέφανθε
γ΄	ἠγγέλθων ἢ ἠγγέλθωσαν		πεφάνθων ἢ [πεφάνθωσαν.

ΑΠΑΡΕΜΦΑΤΟΥ.

ἠγγέλθαι, ἐστάλθαι, ἐφθάρθαι, πεφάνθαι.

ΜΕΤΟΧΗΣ.

ἠγγελμένος, η, ον, ἐσταλμένος, η, ον, ἐφθαρμένος, η, ον, πεφασμένος, η, ον.

Τοῦ *καταισχύνομαι* ὁ μέσος παρακείμενος εἶναι *κατήσχυμμαι*· τοῦ δὲ *παροξύνομαι* *παρώξυμμαι*.

§ 202. Τὸ ἀπαρέμφατον καὶ ἡ μετοχὴ τοῦ μέσου παρακειμένου τονίζεται ***πάντοτε*** ἐπὶ τῆς παραληγούσης.

§ 203. Ὁ μέσος τετελεσμένος μέλλων σχηματίζεται ***μονολεκτικῶς*** ἐκ τοῦ ἀναδιπλασιασθέντος θέματος τοῦ μέσου παρακειμένου καὶ τῶν προσωπικῶν καταλήξεων τοῦ μέσου μέλλοντος, ἢ ***περιφραστικῶς*** διὰ τῆς μετοχῆς τοῦ μέσου παρακειμένου καὶ τοῦ μέλλοντος τοῦ ῥήματος εἰμί, ***ἔσομαι*** ἴδε § 167, γ.

§ 204. Ὅσα τῶν ὑγρολήκτων καὶ ἐρρινολήκτων ἔχουσι μέσον τετελεσμένον μέλλοντα, σχηματίζουσιν αὐτὸν ***πάντοτε περιφραστικῶς***.

SISMANOGLIO MEGARO

Παραδείγματα.

ΟΡΙΣΤΙΚΗΣ

Ἑνικὸς ἀριθμός.

α' λελύσομαι	ἢ λελυμένος, η, ον,	ἔσομαι	πεπράξομαι
β' λελύσῃ (ει)	»	ἔσῃ (ει)	πεπράξῃ (ει)
γ' λελύσεται	»	ἔσται	πεπράξεται

Πληθυντικὸς ἀριθμός.

α' λελυσόμεθα	ἢ -μένοι, αι, α	ἐσόμεθα	πεπραξόμεθα
β' λελύσεσθε	»	ἔσεσθε	πεπράξεσθε
γ' λελύσονται	»	ἔσονται	πεπράξονται.

Ἑνικὸς εἰργασμένος, η, ον· ἀποκεκριμένος, η, ον· α' ἔσομαι, β' ἔσῃ, (ει) γ' ἔσται κτλ.

ΕΥΚΤΙΚΗΣ

Ἑνικὸς	α'	λελυσοίμην	ἢ λελυμενος, η, ον	ἐσοίμην
»	β'	λελύσοιο	»	ἔσοιο
»	γ'	λελύσοιτο	»	ἔσοιτο
Πληθ.	α'	λελυσοίμεθα	ἢ λελυμένοι, αι, α	ἐσοίμεθα
»	β'	λελύσοισθε	»	ἔσοισθε
»	γ'	λελύσοιντο	»	ἔσοιντο.

Πεπραξοίμην, πεπράξοιο, πεπράξοιτο κτλ.

Εἰργασμένος, η, ον· ἀποκεκριμένος, η, ον· α' ἐσοίμην, β' ἔσοιο, γ' ἔσοιτο κτλ.

ΑΠΑΡΕΜΦΑΤΟΥ

λε-λύσεσθαι, πε-πράξεσθαι.

ΜΕΤΟΧΗΣ

λε λυσόμενος, η, ον.

ΑΣΚΗΣΙΣ 22.

Ἡ πολιτικὴ κατάστασις τῆς Πελοποννήσου μετὰ τὴν ἧτταν τῆς Σπάρτης ὑπὸ τῶν Θηβῶν.

Α'. Οἱ Πελοποννήσιοι ἀποστάντες τῶν Λακεδαιμονίων ἤλπισαν ἐλευθερίας καὶ αὐτονομίας τεύξεσθαι (ὅτι θὰ τύχωσιν). Ἀλλ' οὐδὲν αὐτοῖς τοιοῦτο γέγονεν· ἀντὶ μὲν γὰρ τῆς ἐλευθερίας τοὐναντίον ἀποβέβηκεν· ἀπολέσαντες τοὺς βελτίστους αὐτῶν ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν **γεγένηνται** (ἔχουσι περιέλθει εἰς τὴν ἐξουσίαν τῶν χειρίστων), ἀντὶ δὲ τῆς αὐτονομίας εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν, **εἰθισμένοι** δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι (νὰ πορεύωνται), νῦν τοὺς ἄλλους ὁρῶσιν ἐφ' ἑαυτοὺς στρατευομένους. Οὕτω δ' **ὡμαλισμένοι εἰσὶν** (εἶναι ἰσοπεδωμένοι ὑπὸ τῶν συμφορῶν), ὥστε οὐδεὶς δύναται διαγνῶναι (νὰ διακρίνῃ) τοὺς κάκιστα πράττοντας (τοὺς εἰς χειρίστην θέσιν εὑρισκομένους) ἐξ αὐτῶν. Οὐδεμία γὰρ τῶν πόλεών ἐστιν ἀκέραιος οὐδ' **ἀπηλλαγμένη** ὁμόρων, οἳ κακῶς ποιήσουσιν, ὥστε **τετμῆσθαι** μὲν τὰς χώρας (νὰ εἶναι μὲν ἐρημωμένα τοῦ καθενὸς τὰ κτήματα), **πεπορθῆσθαι** δὲ τὰς πόλεις (νὰ εἶναι δὲ αἱ διάφοροι πόλεις λαφυραγωγημέναι), ἀναστάτους δὲ **γεγενῆσθαι** τοὺς οἴκους τοὺς ἰδίους (νὰ εἶναι δὲ κατεστραμμένοι οἱ διάφοροι ἰδιωτικοὶ οἶκοι), **ἀνατετράφθαι** δὲ τὰς πολιτείας (νὰ εἶναι δὲ αἱ διάφοροι αὐτόνομοι πολιτεῖαι κατεστραμμέναι) καὶ **καταλελύσθαι** τοὺς νόμους (νὰ εἶναι κατηργημένοι οἱ διάφοροι νόμοι), μεθ' ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν.

Δέρδας ὁ Ἐλιμιάς[1] ἄρχων νικᾷ παρὰ τὴν Ἀπολλωνίαν[2] τοὺς Ὀλυνθίους.

Δυϊκός	**δότον,**	δότων

§ 62. Εἰς τὰ μετὰ προθέσεως σύνθετα ῥήματα ὁ τόνος τοῦ ἐνεργ. ἀορίστου β΄ τῆς Προστακτικῆς **ἀναβιβάζεται** ὅσον τὸ δυνατὸν ἀνωτέρω τῆς ληγούσης.

§ 63. Αἱ καταλήξεις τοῦ **Ἀπαρεμφάτου** εἶναι τοῦ μὲν ἐνεστῶτος **ναι** τοῦ δὲ ἀορίστου β΄ **εναι.**

§ 64. Τὸ **ε** τῆς καταλήξεως τοῦ ἀορ. β΄ ἐν τῷ **ἀπαρεμφάτῳ** συνῃρέθη μετὰ τοῦ χαρακτῆρος **ε** εἰς **ει** μετὰ δὲ τοῦ **α** εἰς **η** καὶ μετὰ τοῦ **ο** εἰς **ου.**

Παραδείγματα Ἀπαρεμφάτου.

α΄) Ἐνεστῶτος	1) θέμα	**τιθε**	τιθέ-**ναι**
	2) »	**ἱστα**	ἱστά-**ναι**
	3) »	**διδο**	διδό-**ναι**
β΄) Ἀορίστ. β΄	1) »	**θε**	**θεῖναι**
	2) »	**στα**	**στῆναι**
	3) »	**δο**	**δοῦναι**

§ 65. Καὶ τῶν εἰς **μι** ἡ ἐνεργητικὴ Μετοχὴ ἐν τῷ ἐνεστῶτι καὶ τῷ ἀορίστῳ β΄ ἔχει χαρακτῆρα **ντ,** ἀλλ' ἐσχηματίσθη ἡ ὀνομαστικὴ αὐτῆς διὰ τῆς προσλήψεως τοῦ **ς,** τῆς ἀποβολῆς τοῦ **ντ** πρὸ τοῦ **ς** καὶ τῆς ἀναπληρωτικῆς ἐκτάσεως[1] τοῦ μὲν **ε** εἰς **ει,** τοῦ **α** εἰς **α** καὶ τοῦ **ο** εἰς **ου.**

Παραδείγματα Μετοχῆς.

α΄) ἐνεστῶτος 1) Θέμα **τιθεντ**

Ὀν. τιθεὶς, γεν. **τιθέντος·** θηλ. **τιθεῖσα,** γεν. **τιθείσης·** οὐδ. **τιθέν,** γεν. **τιθέντος.**

1. Βλέπε ἐν σελ. 19 σημείωσιν 1.

2) Θέμα **ἱσταντ**

Ὀν. ἱστάς, γεν. **ἱστάντος·** θηλ. **ἱστᾶσα,** γεν. **ἱστάσης·** οὐδ. **ἱστάν,** γεν. **ἱστάντος·**

3) Θέμα **διδοντ**

Ὀν. διδούς, γεν. **διδόντος·** θηλ. **διδοῦσα,** γεν. **διδούσης·** οὐδ. **διδόν,** γεν. **διδόντος.**

β΄) Ἀόρ. β΄ 1) Θέμα **θεντ**

Ὀν. θεὶς, γεν. **θέντος·** θηλ. **θεῖσα,** γεν. **θείσης·** οὐδ. **θέν,** γεν. **θέντος.**

2) Θέμα **σταντ**

Ὀν. στάς, γεν. **στάντος·** θηλ. **στᾶσα,** γεν. **στάσης·** οὐδ. **στάν,** γεν. **στάντος.**

3) θέμα **δοντ**

Ὀν. δούς, γεν. **δόντος·** θηλ. **δοῦσα,** γεν. **δούσης·** οὐδ. **δόν,** γεν. **δόντος.**

2) Μέση καὶ παθητικὴ φωνὴ τῶν εἰς μι φωνηεντολήκτων

§ 66. Αἱ καταλήξεις τῆς μέσης καὶ παθητικῆς φωνῆς τῶν εἰς **μι** φωνηεντολήκτων ἐν τῇ Ὁριστικῇ τοῦ μὲν ἐνεστῶτος εἶναι αἱ αὐταὶ μὲ τὰς τοῦ ἐνεστῶτος τῶν βαρυτόνων τῆς αὐτῆς ἐγκλίσεως καὶ φωνῆς, ἀλλ' ἄνευ τῶν θεματικῶν φωνηέντων **ο** καὶ **ε·** ἤτοι·

Ἑνικὸς	α΄	**μαι**	β΄ **σαι**	γ΄	**ται**
Πληθ.	»	**μεθα**	» **σθε**	»	**νται**
Δυϊκὸς			» **σθον**	»	**σθον.**

Τοῦ δὲ παρατατικοῦ καὶ μέσ. ἀορ. β΄ εἶναι αἱ αὐταὶ

SISMANOGLIO MEGARO

μὲ τὰς τοῦ παρατατικοῦ τῶν βαρυτόνων τῆς αὐτῆς φωνῆς, ἀλλ' ἄνευ τῶν θεματικῶν φωνηέντων **ο** καὶ **ε**· ἤτοι·

Ἐνικὸς	α΄ **μην,**	β΄ **σο,**[1]	γ΄ **το**
Πληθ.	» **μεθα,**	» **σθε,**	» **ντο**
Δυϊκὸς	»	» **σθον,**	» **σθην.**

Παραδείγματα Ὁριστικῆς.

α΄) Ἐνεστῶτος 1) θέμα **τιθε**

Ἐνικὸς α΄	τίθε-**μαι,**	β΄ τίθε-**σαι,**	γ΄ τίθε-**ται**
Πληθ. »	τιθέ-**μεθα,**	» τίθε-**σθε,**	» τίθε-**νται**
Δυϊκὸς		» τίθε-**σθον,**	» τίθε-**σθον.**

2) θέμα **ἱστα**

Ἐνικὸς α΄	ἵστα-**μαι,**	β΄ ἵστα-**σαι,**	γ΄ ἵστα-**ται**
Πληθ. »	ἱστά-**μεθα,**	ἵστα-**σθε,**	» ἵστα-**νται**
Δυϊκὸς		ἵστα-**σθον,**	» ἵστασθον.

3) θέμα **διδο**

Ἐνικὸς α΄	δίδο-**μαι,**	β΄ δίδο-**σαι,**	γ΄ δίδο-**ται**
Πληθ. »	διδό-**μεθα,**	δίδο-**σθε,**	» δίδο-**νται**
Δυϊκὸς		δίδο-**σθον,**	» δίδο-**σθον.**

β΄) Παρατατικοῦ 1) θέμα **ἐ-τιθε**

Ἐνικὸς α΄	ἐ-τιθέ-**μην,**	β΄ ἐ-τίθε-**σο,**	γ΄ ἐ-τίθε-**το**
Πληθ. »	ἐ-τιθέ-**μεθα,**	ἐ-τίθε-**σθε,**	» ἐ-τίθε-**ντο**
Δυϊκὸς		ἐ-τίθε-**σθον,**	» ἐ-τιθέ-**σθην.**

2) θέμα **ἱστα**

Ἐνικὸς α΄	ἱστά-**μην,**	β΄ ἵστα-**σο,**	γ΄ ἵστα-**το**
Πληθ. »	ἱστά-**μεθα,**	ἵστα-**σθε,**	» ἵστα-**ντο**
Δυϊκὸς		ἵστα-**σθον,**	» ἱστά-**σθην.**

1. Ἐν τῷ μέσῳ ἀορίστῳ β΄ τοῦ δευτέρου προσώπου ἡ κατάληξις εἶναι **ου**.

3) θέμα **ἐ-διδο**

Ἐνικὸς α΄	ἐ-διδό-**μην,**	β΄ ἐ-δίδο-**σο.**	γ΄ ἐ-δίδο-**το**
Πληθ. »	ἐ-διδό-**μεθα,**	» ἐ-δίδο-**σθε,**	» ἐ-δίδο-**ντο**
Δυϊκὸς		» ἐ-δίδο-**σθον,**	» ἐ-διδό-**σθην.**

γ΄) Μέσου ἀορ. β΄ 1) θέμα **ἐ-θε**

Ἐνικὸς α΄	ἐθέ-**μην,**	β΄ ἔθου,	γ΄ ἔθε-**το**
Πληθ. »	ἐθέ-**μεθα,**	» ἔθε-**σθε,**	» ἔθε-**ντο**
Δυϊκὸς		» ἔθε-**σθον**	» ἐθέ-**σθην.**

2) θέμα **ἐδο**

Ἐνικὸς α΄	ἐδό-**μην,**	β΄ ἔδου.	γ΄ ἔδο-**το**
Πληθ. »	ἐδό-**μεθα,**	» ἔδο-**σθε,**	» ἔδο-**ντο**
Δυϊκὸς		» ἔδο-**σθον,**	» ἐδό-**σθην.**

Τὸ **ἵσταμαι** δὲν ἔχει μέσον ἀόριστον β΄.

§ 67. Ἐν δὲ τῇ Ὑποτακτικῇ αἱ καταλήξεις τοῦ ἐνεστῶτος καὶ μ. ἀορίστου β΄ εἶναι συνηρημέναι καὶ τῶν μὲν εἰς **ε** καὶ **α** εἶναι·

Ἐνικὸς	α΄ **ὦμαι,**	β΄ **ῇ,**	γ΄ **ῆται**
Πληθ.	» **ὡμεθα,**	» **ησθε,**	» **ῶνται**
Δυϊκὸς		» **ησθον,**	» **ησθον·**

τῶν δὲ εἰς **ο** εἶναι·

Ἐνικὸς	α΄ **ῶμαι,**	β΄ **ῷ,**	γ΄ **ῶται**
Πληθ.	» **ὡμεθα,**	» **ωσθε,**	» **ῶνται**
Δυϊκὸς		» **ωσθον,**	» **ωσθον.**

Παραδείγματα Ὁριστικῆς.

α΄) Ἐνεστῶτος 1) θέμα **τιθη**

Ἐνικὸς α΄	τιθῶ-**μαι,**	β΄ τιθῇ	γ΄ τιθῆ-**ται**
Πληθ. »	τιθώ-**μεθα,**	» τιθῆ-**σθε,**	» τιθῶ-**νται**
Δυϊκὸς		» τιθῆ-**σθον,**	» τιθῆ-**σθον.**

SISMANOGLIO © MEGARO

2) Θέμα **ἱστη**

Ἐνικὸς α΄	ἱστῶμαι,	β΄ ἱστῇ,	γ΄ ἱστῆται
Πληθ.	» ἱστώμεθα,	» ἱστῆσθε,	» ἱστῶνται
Δυϊκὸς		» ἱστῆσθον,	» ἱστῆσθον.

3) Θέμα **διδω**

Ἐνικὸς α΄	διδῶμαι,	β΄ διδῷ,	γ΄ διδῶται
Πληθ.	» διδώμεθα,	» διδῶσθε,	» διδῶνται
Δυϊκὸς		» διδῶσθον,	» διδῶσθον.

β΄) Ἀορίστου β΄ 1) Θέμα **θη**

Ἐνικὸς α΄	θῶμαι,	β΄ θῇ,	γ΄ θῆται
Πληθ.	» θώμεθα,	» θῆσθε,	» θῶνται
Δυϊκὸς		» θῆσθον,	» θῆσθον.

2) Θέμα **δω**

Ἐνικὸς α΄	δῶμαι,	β΄ δῷ,	γ΄ δῶται
Πληθ.	» δώμεθα,	» δῶσθε,	» δῶνται
Δυϊκὸς		» δῶσθον,	» δῶσθον.

§ 68. Ἐν δὲ τῇ Εὐκτικῇ αἱ καταλήξεις τοῦ ἐνεστῶτος καὶ μ. ἀορίστου β΄ εἶναι·

Ἑνικὸς α΄	***(ι)μην,***	β΄ ***(ι)ο,***	γ΄ ***(ι)το***
Πληθ.	» ***(ι)μεθα,***	» ***(ι)σθε,***	» ***(ι)ντο***
Δυϊκὸς		» ***(ι)σθον,***	» ***(ι)σθην.***

§ 69. Τὸ **ι** τῶν καταλήξεων τῆς Εὐκτικῆς ἔγεινε μετὰ μὲν τοῦ χαρακτῆρος **ε, ει**· μετὰ δὲ τοῦ **σ, αι** καὶ μετὰ τοῦ **ο, οι.**

Παραδείγματα Εὐκτικῆς.

α΄) Ἐνεστῶτος 1) Θέμα **τιθε**

Ἐνικὸς α΄	τιθείμην[1],	β΄ τιθεῖο,	γ΄ τιθεῖτο
Πληθ.	» τιθείμεθα,	» τιθεῖσθε,	» τιθεῖντο
Δυϊκὸς		» τιθεῖσθον,	» τιθείσθην.

1. Ὁ ἐνεστὼς καὶ μ. ἀόρ. β΄ τῆς Εὐκτικῆς τοῦ **τίθημι** κλίνεται καὶ κατὰ νὰ βαρύτονα· **τιθοίμην, θοίμην.**

2) Θέμα **ἱστα**

Ἐνικὸς α΄	ἱσταίμην,	β΄ ἱσταῖο,	γ΄ ἱσταῖτο
Πληθ.	» ἱσταίμεθα,	» ἱσταῖσθε,	» ἱσταῖντο
Δυϊκὸς		» ἱσταῖσθον,	» ἱσταίσθην.

3) Θέμα **διδο**

Ἐνικὸς α΄	διδοίμην,	β΄ διδοῖο,	γ΄ διδοῖτο
Πληθ.	» διδοίμεθα,	» διδοῖσθε,	» διδοῖντο
Δυϊκὸς		» διδοῖσθον,	» δίδοισθην.

β΄) Μέσου ἀορίστου β΄ 1) Θέμα **θε**

Ἐνικὸς α΄	θείμην,	β΄ θεῖο,	γ΄ θεῖτο
Πληθ.	» θείμεθα,	» θεῖσθε,	» θεῖντο
Δυϊκὸς		» θεῖσθον,	» θείσθην.

2) Θέμα **δο**

Ἐνικὸς α΄	δοίμην,	β΄ δοῖο,	γ΄ δοῖτο
Πληθ.	» δοίμεθα,	» δοῖσθε,	» δοῖντο
Δυϊκὸς		» δοῖσθον,	» δοίσθην.

§ 70. Ἐν δὲ τῇ Προστακτικῇ αἱ καταλήξεις τοῦ ἐνεστῶτος καὶ μ. ἀορίστου β΄ εἶναι·

Ἑνικὸς β΄	***σο***[1],	γ΄ ***σθω***	
Πληθ.	» ***σθε,***	» ***σθων*** ἢ ***σθωσαν***	
Δυϊκὸς	» ***σθον***	» ***σθων.***	

Παραδείγματα Προστακτικῆς.

α΄) Ἐνεστῶτος 1) Θέμα **τιθε**

Ἐνικὸς β΄	τίθε-σο,	γ΄ τιθέ-σθω
Πληθ.	» τίθε-σθε,	» τιθέ-σθων ἢ τιθέ-σθωσαν
Δυϊκὸς	» τίθε-σθον,	» τιθέ-σθων.

1. Τὸ **σ** τῆς καταλήξεως **σο** ἐν τῷ μ. ἀορ. β΄ τῆς Προστακτικῆς ἀπεβλήθη καὶ ὁ χαρακτὴρ **ε** καὶ **ο** μετὰ τοῦ **ο** τῆς καταλήξεως συνῃρέθη εἰς **ου.**

SISMANOGLIO MEGARO

2) Θέμα **ἱστα**

Ἑνικὸς β'	ἵστα-σο,	γ' ἱστά-σθω
Πληθ. »	ἵστα-σθε,	» ἱστά-σθων ἢ ἱστά-σθωσαν
Δυϊκὸς »	ἵστα-σθον	» ἱστά-σθων.

3) Θέμα **διδο**

Ἑνικὸς β'	δίδο-σο,	γ' διδό-σθω
Πληθ. »	δίδο-σθε,	» διδό-σθων ἢ διδό-σθωσαν
Δυϊκὸς »	δίδο-σθον,	» διδό-σθων.

β') Μέσ. ἀορ. β' 1) Θέμα **θε**

Ἑνικὸς β'	θοῦ.[1]	γ' θέ-σθω
Πληθ. »	θέ-σθε,	» θέ-σθων ἢ θέ-σθωσαν.
Δυϊκὸς »	θέ-σθον,	» θέ-σθων.

2) Θέμα **δο**

Ἑνικὸς β'	δοῦ[2],	γ' δό-σθω
Πληθ. »	δό-σθε,	» δό-σθων ἢ δό-σθωσαν
Δυϊκὸς »	δό-σθον,	» δό-σθων.

§ 71. Ἐν δὲ τῷ Ἀπαρεμφάτῳ αἱ καταλήξεις τοῦ ἐνεστῶτος καὶ μ. ἀορίστου β' εἶναι· **σθαι.**

Παραδείγματα Ἀπαρεμφάτου.

α') Ἐνεστῶτος	1) Θέμα	**τιθε**	τίθε-σθαι.
	2) »	**ἱστα**	ἵστα-σθαι.
	3) »	**διδο**	δίδο-σθαι.
β') Μέσ. ἀορ. β'	1) »	**θε**	θέ-σθαι.
	2) »	**δο**	δό-σθαι.

1. Κατ' ἀρχὰς ἦτο **θέσο** καὶ μετὰ τὴν ἀποβολὴν τοῦ **σ** **(θέ-ο) θοῦ.**

2. Κατ' ἀρχὰς ἦτο **δόσο** καὶ μετὰ τὴν ἀποβολὴν τοῦ **σ** **(δό-ο) δοῦ.**

§ 72. Καὶ ἐν τῇ Μετοχῇ εἶναι·
Ἀρσ. **μενος,** θηλ. **μένη,** οὐδ. **μενον.**

Παραδείγματα Μετοχῆς.

α') Ἐνεστῶτος 1) Θέμα **τιθε**

τιθέ-**μενος,**	τιθε-**μένη,**	τιθέ-**μενον.**

2) Θέμα **ἱστα**

ἱστά-**μενος,**	ἱστα-**μένη,**	ἱστά-**μενον.**

3) Θέμα **διδο**

διδό-**μενος,**	διδο-**μένη**	διδό-**μενον.**

β') Μέσ. ἀορ. β' 1) Θέμα **θε**

θέ-**μενος,**	θε-**μένη,**	θέ-**μενον.**

2) Θέμα **δο**

δό-**μενος,**	δο-**μένη,**	δό-**μενον.**

3' Οἱ λοιποὶ χρόνοι τῶν εἰς ϗι φωνηεντολήκτων.

§ 73. Οἱ λοιποὶ χρόνοι τῶν εἰς **μι** φωνηεντολήκτων εἰς πάσας τὰς φωνὰς καὶ ἐγκλίσεις ἐσχηματίσθησαν ὡς καὶ οἱ τῶν βορυτόνων φωνηεντολήκτων, ἤτοι· διὰ τῆς προσαρτήσεως εἰς τὸ ῥηματικὸν θέμα τῶν οἰκείων καταλήξεων ἑκάστου χρόνου· ἀλλὰ τῆς μὲν ἐνεργητικῆς καὶ μέσης φωνῆς οἱ χρόνοι ἐσχηματίσθησαν ἐκ τοῦ εἰς **η** καὶ **ω** ῥημ. θέματος, τῆς δὲ παθητικῆς φωνῆς ἐκ τοῦ εἰς **ε, α** καὶ **ο.**

Παραδείγματα.

Ἐνεστὼς	**τίθημι**	**ἵστημι**	**δίδωμι**
Ἐνεργ. μέλ.	θή́σω κτλ.,	στή́σω κτλ.,	δώ́σω κτλ.
Μέσ. »	θή́σομαι κτλ.	στή́σομαι κτλ.	δώ́σομαι κτλ.
		ἑστησάμην κτλ.	

SISMANOGLIO MEGARO

Παθ.	» τεθήσομαι κτλ.	στἀθήσομαι κτλ.	δοθήσομαι κτλ.
»	*ἀόρ.* ἐτέθην κτλ.	ἐστάθην κτλ.	ἐδόθην κτλ.
Παρακείμ.			δέδομαι κτλ.
Ὑπερσ.			ἐδεδόμην κτλ.

§ 74. Ὁ ἐνεργ. παρακ. τοῦ ***τίθημι*** εἶναι τέθΕΙκα· ὁ δὲ μέσος τέθΕΙμαι· ὡς παθητικὸς παρακείμενος τοῦ ***τίθημι*** χρησιμεύει τὸ ***κεῖμαι, κεῖσαι, κεῖται*** κτλ.

§ 75. Τοῦ ***ἵστημι*** ὁ ἐνεργ. παρακείμενος ***ἕστηκα*** καὶ ὑπερσ. ***ἑστήκειν*** εἶναι μέσης καὶ παθ. διαθέσεως καὶ κλίνεται ὡς ἑξῆς·

Ὁριστική.

ἕστηκα,	ἕστηκας,	ἕστηκε(ν)
ἑστήκαμεν ἢ ἕσταμεν,	ἑστήκατε ἢ ἕστατε,	ἑστήκασι(ν) ἢ ἑστᾶσι(ν)·
ἑστήκατον ἢ ἕστατον,	ἑστήκατον ἢ ἕστατον.	

Ὑποτακτική.

ἑστήκω,	ἑστήκῃς,	ἑστήκῃ
ἑστήκωμεν ἢ ἑστῶμεν	ἑστήκητε,	ἑστήκωσι(ν) ἢ ἑστῶσι(ν)
	ἑστήκητον,	ἑστήκητον.

Εὐκτική.

ἑστήκοιμι,	ἑστήκοις κτλ.

Ἀπαρέμφατον.

ἑστηκέναι ἢ ἑστάναι (συνηθέστερον).

Μετοχή.

ἑστηκώς	ἑστηκυῖα	ἑστηκός
ἢ ἑστώς, ἑστῶτος,	ἑστῶσα, ἑστώσης,	ἑστώς, ἑστῶτος
		(συνηθέστερον).

Ὑπερσυντελικός.

ἑστήκειν,	ἑστήκεις,	ἑστήκει
ἑστήκειμεν,	ἑστήκειτε,	ἑστήκεσαν ἢ ἕστασαν
	ἑστήκειτον,	ἑστηκείτην
ἢ εἱστήκειν,	εἱστήκεις,	εἱστήκει κτλ.

Β΄ Κλίσις τῶν εἰς μι συμφωνολήκτων.

Ὁ ἐνεστὼς καὶ παρατατικὸς αὐτῶν.

§ 76. Τὰ συμφωνόληκτα εἰς ***μι*** εἶναι πολυπληθέστερα τῶν προηγουμένων· τὸ δὲ ῥηματικὸν θέμα αὐτῶν προσέλαβεν εἰς τὸν ἐνεργ., μέσ. καὶ παθ. ἐνεστῶτα πασῶν τῶν ἐγκλίσεων καὶ εἰς τὸν παρατατικὸν τὸ ***νυ***.

Παραδείγματα.

Ῥημ. θέμα δεικ+νυ — δείκ-νυ-μι
» » πηγ+νυ — πήγ-νυ-μι
» » ὀμ+νυ — ἐνεστ. ὄμ-νυ-μι.

§ 77. Εἰς τὰ ἐκ τῶν εἰς ***μι*** *συμφώνηκτα* ὁ χαρακτὴρ ***σ*** ἀφωμοιώθη πρὸς τὸ ***ν***.

Παραδείγματα.

Ῥημ. θέμα σβεσ+νυ — σβέν-νυ-μι
» » ζωσ+νυ — ζών-νυ-μι
» » κορεσ+νυ — κορέν-νυ-μι.

§ 78. Κατὰ τὰ συμφώνηκτα ἔλαβον τὸ ***ννυ*** καὶ τὰ φωνηεντόληκτα *χώννυμι* καὶ *στρώννυμι*.

§ 79. Ὁ ***ἐνεστὼς*** τῆς μὲν Ὁριστικῆς, Προστακτικῆς, Ἀπαρεμφάτου καὶ Μετοχῆς καὶ ὁ παρατατικὸς αὐτῶν συνήθως μὲν σχηματίζεται καθὼς καὶ ὁ τῶν εἰς ***μι*** φωνηεντολήκτων, ἀλλὰ καὶ κατὰ τὰ βαρύτονα σπανιώτερον· τῆς δὲ Ὑποτακτικῆς καὶ Εὐκτικῆς πάντοτε κατὰ τὰ βαρύτονα.

SISMANOGLIO MEGARO

Τὸ δείκνυμι καὶ δείκνυμαι κλίνεται οὕτω·

α) Ἐν τῇ ἐνεργητικῇ φωνῇ·

	Ὁριστική.		Ὑποτακτική.
	Ἐνεστώς.	*Παρατατικός.*	*Ἐνεστώς.*
Ἑνικὸς	δείκ-νυμι	ἐδείκ-νυν	δεικνύω,
	δείκ-νυς	ἐδείκ-νυς	δεικνύῃς,
	δείκ-νυσι(ν)	ἐδείκ-νυ	δεικνύῃ κτλ.
Πληθ.	δεί-νυμεν	ἐδείκ-νυμεν	
	δείκ-νυτε	ἐδείκ-νυτε	
	δεικ-νύασι(ν)	ἐδείκ-νυσαν	
Δυϊκὸς	δείκ-νυτον	ἐδείκ-νυτον	
	δείκ-νυτον	ἐδεικ-νύτην	

Εὐκτική.	Προστ.	Ἀπαρεμφ.	Μετοχή.
δεικνύοιμι		δεικνύναι	δεικνὺς γεν. δεικνύντος
δεικνύοις	δείκνυ		δεικνῦσα » δεικνύσης
δεικνύοι κτλ.	δεικνύτω		δεικνὺν » δεικνύντος
	δείκνυτε		
	δεικνύντων ἢ δεικνύτωσαν		
	δείκνυτον		
	δεικνύτων		

β) Ἐν τῇ μέσῃ καὶ παθητικῇ φωνῇ.

	Ὁριστική.		Ὑποτακτική.
	Ἐνεστώς.	*Παρατατικός.*	*Ἐνεστώς.*
Ἑνικὸς	δείκ-νυμαι	ἐδεικ-νύμην	δεικνύωμαι
	δείκ-νυσαι	ἐδείκ-νυσο	δεικνύῃ
	δείκ-νυται	ἐδείκ-νυτο	δεικνύηται
Πληθ.	δεικ-νύμεθα	ἐδεικ-νύμεθα	δεικνυώμεθα
	δείκ-νυσθε	ἐδείκ-νυσθε	δεικνύησθε
	δείκ-νυνται	ἐδείκ-νυντο	δεικνύωνται
Δυϊκὸς	δείκ-νυσθον	ἐδείκ-νυσθον	δεικνύησθον
	δείκ-νυσθον	ἐδεικ-νύσθην	δεικνύησθον

	Εὐκτική.	Προστακ.	Ἀπαρέμφ.	Μετοχή.
Ἑνικὸς	δεικνυοίμην		δείκ-νυσθαι	δεικ-νύμενος
	δεικνύοιο	δείκ-νυσο		δεικ νυμένη
	δεικνύοιτο	δεικ-νύσθω		δεικ νύμενον
Πληθ.	δεικνυοίμεθα			
	δεικνύοισθε	δείκ-νυσθε		
	δεικνύοιντο	δεικ-νύσθων ἢ δεικ-νύσθωσαν		
Δυϊκὸς	δεικνύοισθον	δείκ-νυσθον		
	δεικνυοίσθην	δεικ-νύσθων		

§80. Οἱ λοιποὶ χρόνοι τῶν εἰς ***νυμι*** ἢ ***ννυμι*** εἰς πάσας τὰς φωνὰς καὶ ἐγκλίσεις ἐσχηματίσθησαν ἐκ τοῦ ῥημ. θέματος, ὅπως καὶ οἱ ὅμοιοι τῶν *βαρυτόνων ἀφωνολήκτων*.

Παραδείγματα.

Ἐνεστὼς δείκνυμι, *μέλ.* δείξω, *ἀόρ.* ἔδειξα, *παραχ.* δέδειχα, *τετ. μέλ.* δεδειχὼς ἔσομαι.

Ἐνεστὼς δείκνυμαι, *μέσ. μέλ.* δείξομαι, *μέσ. ἀόρ.* ἐδειξάμην, *παραχ.* δέδειγμαι, *ὑπερσ.* ἐδεδείγμην, *παθ. μέλ.* δειχθήσομαι, *παθ. ἀόρ.* ἐδείχθην, *τετ. μέλ.* δεδειγμένος ἔσομαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Ῥήματα κατ' ἀναλογίαν τῶν εἰς ΜΙ κλινόμενα.

§81. Κατὰ τὸ ***τίθημι*** καὶ ***τίθεμαι*** κλίνεται τὸ ***ἵημι*** (=ῥίπτω, βάλλω, πέμπω), καὶ ***ἵεμαι***· ἤτοι α') ***ἵημι***

Ὁριστικῆς *Ἐνεστὼς* ἵημι, ἵης (ἰεῖς), ἵησι(ν)· ἵεμεν, ἵετε, ἱᾶσι(ν)· ἵετον ἵετον.

Παρατατ. ἵην, ἵεις, ἵει· ἵεμεν, ἵετε, ἵεσαν· ἵετον, ἱέτην.

Μέλλων ἥσω, ἥσεις, ἥσει κτλ.

Ἀόρ. β' ἧκα, ἧκας, ἧκε(ν)· εἷμεν, εἶτε εἶσαν· εἶτον, εἴτην.

SISMANOGLIO MEGARO

Παρακ. εἶκα, εἶκας, εἶκε(ν) κτλ.
Ὑπερσ. εἴκειν, εἴκεις, εἴκει κτλ.
Ὑποτακτ. *Ἐνεστ.* ἰῶ, ἰῇς, ἰῇ, ἰῶμεν, ἰῆτε, ἰῶσι(ν)· ἰῆτον, ἰῆτον.
Ἀόρ. β΄ ὦ, ᾖς, ᾖ· ὦμεν, ἦτε, ὦσι(ν)· ἦτον, ἦτον.
Εὐκτικῆς *Ἐνεστὼς* ἰείην, ἰείης, ἰείη· ἰεῖμεν, ἰεῖτε, ἰεῖεν· ἰεῖτον, ἰείτην.
Ἀόρ. β΄ εἴην, εἴης, εἴη· εἶμεν, εἶτε, εἶεν· εἶτον, εἴτην.
Μέλλων ἥσοιμι, ἥσοις, ἥσοι κτλ.
Προστακτικῆς *Ἐνεστ.* ἶει, ἰέτω· ἶετε, ἰέντων· ἶετον, ἰέτων.
Ἀόρ. β΄ ἕς, ἕτω· ἕτε, ἕντων· ἕτον, ἕτων.
Ἀπαρεμφάτου *Ἐνεστ.* ἰέναι· *ἀόρ. β΄* εἶναι· *παρακ.* εἰκέναι.
Μετοχ. *Ἐνεστ.* ἰείς γεν. ἰέντος· ἰεῖσα γεν. ἰείσης· ἰὲν γεν. ἰέντος.
Ἀόριστος β΄ εἷς » ἕντος· εἶσα » εἴσης· ἕν » ἕντος.
Παρακείμενος εἰκώς, εἰκυῖα, εἰκός.

β΄) ***ἵεμαι***·

Ὁριστικῆς *Ἐνεστ.* ἵεμαι, ἵεσαι, ἵεται· ἱέμεθα, ἵεσθε, ἵενται· ἵεσθον, ἵεσθον.
Παρατ. ἱέμην, ἵεσο, ἵετο· ἱέμεθα, ἵεσθε, ἵεντο· ἵεσθον, ἱέσθην.
Μ. Μέλ. ἥσομαι, ἥσει, ἥσεται κτλ.
Μ.' Αρ. β΄ εἵμην, εἶσο, εἷτο· εἵμεθα, εἶσθε, εἷντο· εἶσθον, εἴσθην.
Παρακ. εἶμαι, εἶσαι, εἶται κτλ.
Ὑπερσ. εἵμην, εἶσο, εἷτο κτλ.
Π. Μέλ. ἑθήσομαι, ἑθήσει, ἑθήσεται κτλ.
Π. Ἀόρ. εἴθην, εἴθης, εἴθη κτλ.
Ὑποτακτ. *Ἐνεστ.* ἵωμαι, ἵῃ, ἵηται· ἰώμεθα, ἵησθε, ἵωνται· ἵησθον, ἵησθον.
Μ.' Αόρ. β΄ ὦμαι, ᾖ, ἦται· ὦμεθα, ἧσθε, ὦνται· ἧσθον, ἧσθον.
Παρακείμ. εἱμένος ὦ, ᾖς, ᾖ κτλ.
Παθ. Ἀόρ. ἑθῶ, ἑθῇς, ἑθῇ κτλ.
Εὐκτικῆς *Ἐνεστ.* ἰείμην, ἰεῖο, ἰεῖτο· ἰείμεθα, ἰεῖσθε, ἰεῖντο· ἰεῖσθον, ἰείσθην.
Μέσ. Μέλ. [ἡσοίμην, ἥσοιο, ἥσοιτο] κτλ.
Μ.' Αόρ. β΄ εἵμην, εἷο, εἷτο, εἵμεθα, εἶσθε, εἷντο· εἶσθον, εἴσθην·
Παρακείμ. εἱμένος εἴην, εἴης, εἴη κτλ.
Παθ. Μέλ. ἑθησοίμην, ἑθήσοιο, ἑθήσοιτο κτλ.
» *Ἀόρ.* ἑθείην, ἑθείης, ἑθείη κτλ.

Προστακτ. *Ἐνεστ.* ἶεσο, ἰέσθω· ἶεσθε, ἰέσθων· ἶεσθον, ἰέσθων.
Μέσ. Ἀόρ. β΄ οὗ, ἔσθω· ἔσθε, ἔσθων· ἔσθον, ἔσθων.
Παρακείμενος εἶσο, εἶσθω· εἶσθε, εἶσθων· εἶσθον, εἶσθων.
Παθ. Ἀόρ. ἑθητι, ἑθήτω κτλ.
Ἀπαρεμφάτου *Ἐνεστ.* ἶεσθαι· *μέσ. μέλ.* ἥσεσθαι· *μέσ. ἀόρ. β΄* ἔσθαι· *παρακ.* εἶσθαι· *παθ. μέλ.* ἑθήσεσθαι· *π. ἀόρ.* ἑθῆναι.
Μετοχῆς *Ἐνεστ.* ἱέμενος, μένη, μενον· *μέσ. μέλ.* ἡσόμενος, μένη, μενον· *μέσ. ἀόρ. β΄* ἕμενος, ἑμένη, ἕμενον· *παρακ.* εἱμένος, μένη, μένον· *παθ. μέλ.* ἑθησόμενος, μένη, μενον· *παθ. ἀόρ.* ἑθείς, ἑθεῖσα, ἑθέν

§ 82. Κατὰ τὸ *ἵστημι* καὶ *ἵσταμαι* κλίνονται τὰ ἑξῆς ῥήματα·

πίμπλημι (=γεμίζω), ἐπίμπλην, (ἐμ)πλήσω, (ἐν)έπλησα, (ἐμ)πέπληκα·

πίμπλαμαι, ἐπιμπλάμην, (ἐμ)πλησθήσομαι, (ἐν)επλήσθην, (ἐμ)πέπλησμαι·

πίμπρημι (=καίω), (ἐν)επίμπρην, (ἐμ)πρήσω, (ἐν)έπρησα·

(ἐμ)***πίμπραμαι,*** (ἐν)επρήσθην·

ἄγαμαι (=θαυμάζω), ἠγάμην, ἠγάσθην·

δύναμαι, ἐδυνάμην (καὶ ἠδυνάμην) ***ἐδύνω,*** ἐδύνατο κτλ., δυνήσομαι, ἐδυνήθην (ἐδυνάσθην) καὶ ἠδυνήθην· δεδύνημαι. Ὁ ἐνεστ. τῆς ὑποτακτ. κατὰ τὰ βαρύτονα· *δύνωμαι, δύνῃ* κτλ. Ὁ ἐνεστ. τῆς προστακτ. *δὲν εὑρίσκεται εἰς τὸ β΄ ἑν. πρόσωπον.*

ἐπίσταμαι (=γνωρίζω), ἠπιστάμην, ***ἠπίστασο*** καὶ ***ἠπίστω,*** ἠπίστατο· ἐπιστήσομαι· ἠπιστήθην. Ὑποτακτ. ἐνεστ. κατὰ τὰ βαρύτονα· *ἐπίστωμαι ἐπίστῃ* κτλ. Προστ. ἐνεστ. β΄ πρόσ. ***(ἐπίστασο)*** καὶ ***ἐπίστω.***

Κατὰ τὸν παρατατικὸν τοῦ ***ἐπίσταμαι*** καὶ κατὰ τὸν ἐνεστῶτα τῶν ἄλλων ἐγκλίσεων αὐτοῦ κλίνεται καὶ ὁ μέσ. ἀόρ. ***ἐπριάμην*** τοῦ (ὠνέομαι) *ὠνοῦμαι* (=ἀγο-

SISMANOGLIO MEGARO

ράζω)· ἤτοι· Ὁριστ. *ἐπριάμην*, *ἐπρίω*, *ἐπρίατο* κτλ. Ὑποτ. *πρίωμαι*, πρίῃ κτλ. Εὐκτ. *πριαίμην* πρίαιο κτλ. Προστακτ. *πρίω* καὶ *πρίασο*. Ἀπαρεμφ. *πρίασθαι*· Μετοχὴ *πριάμενος*, *η*, *ον*.

φημὶ (=λέγω)·

Ὁριστ. *Ἐνεστ.* φημί, φῄς (ἢ φῇς), φησί(ν). *Πληθ.* φαμέν, φατέ, φασί(ν)[1]. *Δυϊκ.* φατόν, φατόν.

Παρατατ. ἔφην, ἔφησθα (ἔφης), ἔφη· ἔφαμεν, ἔφατε, ἔφασαν· ἔφατον, ἐφάτην.

Ὑποτακτικ. *Ἐνεστὼς* φῶ, φῇς, φῇ· φῶμεν, φῆτε, φῶσι(ν)· φῆτον, φῆτον.

Εὐκτικὴ. *Ἐνεστ.* φαίην, φαίης, φαίη· φαῖμεν, φαῖτε, φαῖεν· φαῖτον, φαίτην.

Προστακτικὴ. *Ἐνεστὼς.* φάθι ἢ φαθί, φάτω.

Ἀπαρέμφ. φάναι καὶ **Μετοχὴ** φάς φᾶσα, φάν ἢ, συνηθέστερον, φάσκων, ουσα, ον. *Μέλλων* φήσω, *ἀόριστος* ἔφησα.

§ 83. Τὸ ***φημὶ*** ἐν συνθέσει μετὰ προθέσεως ἀναβιβάζει τὸν τόνον ἐν τῷ ἐνεστῶτι τῆς Ὁριστικῆς καὶ Προστακτικῆς· ***ἀπόφημι, σύμφαθι.***

§ 84. Κλίσις τοῦ ***εἰμί*** (=εἰμαι)·

Ὁριστ. *Ἐνεστ.* **εἰμί, εἶ, ἐστί**(ν) ἐσμέν, ἐστέ, εἰσί(ν)· ἐστόν, ἐστόν[2].

Ὑποτακτ. *Ἐνεστ.* ὦ, ἦς, ᾖ· ὦμεν ἦτε, ὦσι(ν)· ἦτον, ἦτον.

Εὐκτ. *Ἐνεστ.* εἴην, εἴης, εἴη· εἶμεν καὶ εἷμεν, εἶτε καὶ εἷτε, εἶησαν καὶ εἶεν· εἴητον καὶ εἷτον, εἰήτην καὶ εἴτην.

Προστ. *Ἐνεστ.* ἴσθι, ἔστω· ἔστε, ἔστων ἢ ἔστωσαν· ἔστον, ἔστων

Ἀπαρέμφ. εἶναι.

---

1. Ὁ ἐνεστὼς τοῦ *φημί* πλὴν τοῦ τύπου **φῄς**, ἐγκλίνεται· ἴδε Τμ. Α σελ. 11 ὑποσημείωσιν.

2. Ὁ ἐνεστὼς τοῦ **εἰμί**, πλὴν τοῦ τύπου **εἶ** ἐγκλίνεται· ἴδ. Τμ. Α' σελ. 11 ὑποσημείωσιν.

Μετοχή. *ἀρσ.* ὤν, γεν. ὄντος· θηλ. οὖσα, οὔσης· οὐδ. ὄν, ὄντος.

Μέλ. ἔσομαι ἔσῃ (ἔσει) **ἔσται.** *Μέσ. ἀόρ.* **ἐγενόμην.** *Παραχ.* **γέγονα.**

§ 85. Τὸ ***εἶμι*** ἐν συνθέσει μετὰ προθέσεως ἀναβιβάζει τὸν τόνον ἐκεῖ, ἔνθα καὶ τὸ ***φημί.*** (Ποῦ;)

§ 86. Κλίσις τοῦ ***εἶμι*** (=θὰ ἔλθω).

Ὁριστ. *Ἐνεστ.* **εἶμι, εἶ, εἶσι**(ν)· ἴμεν, ἴτε, ἴασι(ν)· ἴτον, ἴτον.

Ὑποτακτ. *Ἐνεστ.* ἴω, ἴῃς, ἴῃ ἴωμεν, ἴητε, ἴωσι(ν)· ἴητον, ἴητον.

Εὐκτ. *Ἐνεστ.* ἴοιμι ἢ ἰοίην, ἴοις, ἴοι· ἴοιμεν, ἴοιτε, ἴοιεν· ἴοιτον, ἰοίτην.

Προστ. *Ἐνεστ.* ἴθι, ἴτω· ἴτε, ἰόντων ἢ ἴτωσαν· ἴτον, ἴτων.

Ἀπαρεμφ. ἰέναι.

Μετοχή. *ἀρσ.* ἰὼν ἰόντος· *θηλ.* ἰοῦσα ἰούσης· *οὐδ.* ἰὸν-ἰόντος.

Παρατατ. ᾔα ἢ ᾔειν, ᾔεις ἢ ᾔεισθα, ᾔει(ν)· ᾖμεν, ᾖτε, ᾖσαν ἢ ᾔεσαν· ᾖτον, ᾔτην.

§ 87. Κλίσις τοῦ ***κεῖμαι***[1].

Ὁριστικ. *Ἐνεστ.* κεῖμαι, κεῖσσι, κεῖται· κείμεθα, κεῖσθε· κεῖνται· κεῖσθον, κεῖσθον.

Παρατατ. ἐκείμην, ἔκεισο, ἔκειτο· ἐκείμεθα, ἔκεισθε, ἔκειντο, ἔκεισθον, ἐκείσθην.

Μέλ. κείσομαι, κείσῃ κτλ.

Προστακτικῆς *Ἐνεστὼς* κεῖσο, κείσθω κεῖσθε, κείσθων ἢ κείσθωσαν· κεῖσθον, κείσθων.

Ἀπαρεμφ. *Ἐνεστ.* κεῖσθαι.

Μετοχῆς *Ἐνεστ.* κείμενος κειμένη, κείμενον.

§ 88. Ἡ Ὑποτακτικὴ καὶ Εὐκτικὴ τοῦ *κεῖμαι* δὲν εἶναι εὔχρηστοι.

§ 89. Κλίσις τοῦ ***κάθημαι.***

---

1. Ὡς παρακείμενος τίνος ῥήματος χρησιμεύει τὸ **κεῖμαι**:

SISMANOGLIO MEGARO

Ὁριστικῆς *Ἐνεστ.* κάθημαι, κάθησαι, κάθηται καθήμεθα, κάθησθε, κάθηνται· κάθησθον, κάθησθον.
Παρατ. ἐκαθήμην, ἐκάθησο, ἐκάθητο· ἐκαθήμεθα, ἐκάθησθε, ἐκάθηντο· ἐκάθησθον, ἐκαθήσθην· καὶ
καθήμην, καθῆσο, καθῆστο· καθήμεθα, καθῆσθε, καθῆντο· καθῆσθον, καθήσθην.
Προστακτ. *Ἐνεστ.* κάθησο, καθήσθω· κάθησθε, καθήσθων· κάθησθον, καθήσθων.
Ἀπαρεμφ. *Ἐνεστ.* καθῆσθαι.
Μετοχῆς *Ἐνεστ.* καθήμενος, καθημένη, καθήμενον.

§ 90. Ἡ Ὑποτακτικὴ καὶ Εὐκτικὴ τοῦ *κάθημαι* δὲν εἶναι εὔχρηστοι.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄

Ῥήματα εἰς ΜΙ κατὰ τὸ δείκνυμι κλινόμενα.

§ 91. Κατὰ τὸ ***δείκνυμι*** κλίνονται ἐν τῷ ἐνεστῶτι πασῶν τῶν ἐγκλίσεων καὶ τῷ παρατατικῷ πολλὰ ῥήματα. Ἐκ τούτων τὰ συνηθέστερα εἶναι τὰ ἑξῆς·

ἀπόλλυμι (=καταστρέφω, χάνω) *ἀπώλλυν*, ***ἀπολῶ*** [1], ***ἀπολεῖς, ἀπολεῖ*** κτλ. *ἀπώλεσα*, *ἀπολώλεκα*, *ἀπ-ο[ω]-λωλέκειν*.

ἀπόλλυμαι (=χάνομαι) *ἀπωλλύμην*, ***ἀπολοῦμαι*** [1], ***ἀπολεῖ, ἀπολεῖται*** κτλ. παρακ. ***ἀπόλωλα***, ὑπερσυντ. ***ἀπ-ολώλειν*** καὶ ἀπΩλώλειν, μέσ. ἀόρ. β΄ ***ἀπωλόμην, ἀπώλου, ἀπώλετο*** κτλ.

ὄμνυμι (=ὀρκίζομαι), *ὤμνυν*, ***ὀμοῦμαι*** [1], ***ὀμεῖ***,

1. Πῶς λέγεται ὁ τοιοῦτος μέλλων;

ὀμεῖται· *ὤμοσα*, παρακ. *ὀμώμοκα*, ὑπερσυντ. ***ὠμωμόκειν***.

σκεδάννυμι (=σκορπίζω) *ἐσκεδάννυν*, *ἐσκέδασα*.

σκεδάννυμαι, *ἐσκεδαννύμην*, *ἐσκεδάσθην*, *ἐσκέδασμαι*.

ῥήγνυμι (=σχίζω), *ἐρρήγνυν*, *ῥήξω*, *ἔρρηξα*.

ῥήγνυμαι, *ἐρρηγνύμην*, *ἐρρηξάμην*, ἐνεργ. παρακ. β΄ ***ἔρρωγα***, ὑπερσ. β΄ ***ἐρρώγειν***.

πήγνυμι (=ἐμπήγω, κάμνω τι νὰ παγώσῃ, ***πήζω***), *ἐπήγνυν*, ***ἔπηξα***.

πήγνυμαι, *ἐπηγνύμην*, μέλ. παθ. β΄ ***παγήσομαι***, ἀόρ. παθ. β΄ ***ἐπάγην***, ἐνεργ. παρακ. β΄ ***πέπηγα***, ὑπερσ. ***ἐπεπήγειν***.

(ἀπο)***σβέννυμι***, *ἐσβέννυν*, *σβέσω*, *ἔσβεσα*, ἀόριστος β΄ ***(ἔσβην)***.

(ἀπο)***σβέννυμαι***, *ἐσβεννύμην*, *ἐσβέσθην*, (ἀπ)*έσβηκα*, ὑπερσ. *ἀπεσβήκειν*.

μείγνυμι (=σμίγω), *ἐμείγνυν*, *μείξω*, *ἔμειξα*.

μείγνυμαι, *ἐμειγνύμην*, ἀόρ. παθ. *ἐμείχθην* καὶ β΄ *ἐμίγην* παρακ. *μέμειγμαι*.

ζεύγνυμι (=ζεύγω) *ἐζεύγνυν*, *ζεύξω*, *ἔζευξα*.

ζεύγνυμαι, *ἐζευξάμην*· ἀόρ. παθ. β΄ *ἐζύγην*, *ἔζευγμαι*.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄

Παρακείμενοι καὶ Ὑπερσυντελικοὶ κατὰ τὰ εἰς ΜΙ.

§ 92. Παρακείμενοι καὶ Ὑπερσυντελικοὶ κλινόμενοι κατὰ τὰ εἰς ***μι*** εἶναι οἱ ἑξῆς· 1) *οἶδα* = γνωρίζω·

SISMANOGLIO MEGARO

Ὑπερσ. ᾔδειν = ἐγνώριζον· 2) *τέθνηκα*· Ὑπερσ. *ἐτεθνήκειν*· 3) *δέδοικα* ἢ *δέδια* = φοβοῦμαι· Ὑπερσ. *ἐδεδοίκειν* ἢ *ἐδεδίειν* = ἐφοβούμην.

1) Κλίσις τοῦ οἶδα.

§ 93. Τὸ *οἶδα* ἔχει δύο ῥίζας τὴν ***εἰδ*** καὶ ***ἰδ***· καὶ ἐκ μὲν τῆς ῥίζης ***εἰδ*** ἐσχηματίσθησαν τὰ τρία ἑνικὰ τῆς Ὁριστικῆς, ὁ Ὑπερσυντελικὸς καὶ αἱ λοιπαὶ ἐγκλίσεις, πλὴν τῆς Προστακτικῆς· ἐκ δὲ τῆς ῥίζης ***ἰδ*** ἐσχηματίσθησαν ὁ δυϊκὸς καὶ πληθυντικὸς τῆς Ὁριστικῆς καὶ ἡ Προστακτική.

§ 94. Τὸ *οἶδα* εἶναι παρακείμενος β΄, διὸ καὶ τὸ ***οι*** εἰς τὰ τρία ἑνικὰ τῆς Ὁριστικῆς, (βλέπε Τμ. Α΄, § 237 ὑποσημ. 1)· ἔχει δὲ σημασίαν ἐνεστῶτος καὶ κλίνεται ται ὡς ἑξῆς·

Ὁριστ. οἶδα, οἶσθα, οἶδε(ν)· ἴσμεν, ἴστε, ἴσασι(ν)· ἴστον, ἴστον.

Ὑποτακτ. εἰδῶ, εἰδῇς, εἰδῇ· εἰδῶμεν, εἰδῆτε εἰδῶσι(ν)· εἰδῆτον, εἰδῆτον.

Εὐκτ. εἰδείην, εἰδείης, εἰδείη· εἰδεῖμεν ἢ εἰδείημεν, εἰδεῖτε ἢ εἰδείητε, εἰδεῖεν ἢ εἰδείησαν· εἰδεῖτον εἰδείτην.

Προστ. ἴσθι, ἴστω· ἴστε, ἴστων ἢ ἴστωσαν· ἴστον, ἴστων.

Ἀπαρέμφ. εἰδέναι.

Μετοχή. εἰδὼς γεν. εἰδότος· εἰδυῖα γεν, εἰδυίας· εἰδὸς γεν. εἰδότος.

Ὑπερσ. ᾔδειν, ᾔδεις ἢ ᾔδεισθα, ᾔδει(ν)· ᾔδειμεν, ᾔδειτε, ᾔδεσαν ἢ ᾖδη, ᾔδησθα, ᾔδη· ᾖσμεν, ἦστε, ἦσαν· ᾖστον, ᾔστην.

Μέσ. μέλ. εἴσομαι (= θὰ γνωρίζω, θὰ γνωρίσω), εἴσῃ (ει), εἴσεται κτλ.

Εὐκτ. εἰσοίμην, εἴσοιο, εἴσοιτο κτλ. **Ἀπαρέμφ.** εἴσεσθαι. **Μετοχή.** εἰσόμενος, η, ον.

2) Κλίσις τοῦ τέθνηκα καὶ δέδοικα ἢ δέδια.

§ 95. Τὸ ***τέθνηκα*** κλίνεται ὡς ἑξῆς·

Ὁριστική. τέθνηκα, τέθνηκας, τέθνηκε(ν), τεθνήκαμεν ἢ τέθναμεν, τεθνήκατε ἢ τέθνατε, τεθνήκασι(ν) ἢ τεθνᾶσι(ν)· τέθνατον, τέθνατον.

δέδοικα ἢ δέδια, δέδοικας, δέδοικε(ν) ἢ δέδιε(ν), δεδοίκαμεν ἢ **δέδιμεν**, δεδοίκατε ἢ **δέδιτε**, δεδοίκασι(ν) ἢ **δεδιᾶσι(ν)**· δέδιτον, δέδιτον.

Ὑποτακτ. τεθνήκω, τεθνήκῃς, τεθνήκῃ κτλ. Δεδίω, δεδίῃς, δεδίῃ κτλ.

Εὐκτ. τεθναίην, τεθναίης, τεθναίη, τεθναίημεν, τεθναίητε, τεθναῖεν· τεθναῖτον, τεθναίτην. Δεδοίκοιμι, κοις, κοι κτλ.

Προστακτ. τεθνάτω (μόνον)· (δέδιθι, δεδίτω).

Ἀπαρέμφ. τεθνηκέναι ἢ τεθνάναι. Δεδοικέναι ἢ δεδιέναι.

Μετοχή. τεθνηκώς, τεθνηκότος· τεθνηκυῖα, τεθνηκυίας· τεθνηκός, τεθνηκότος ἢ τεθνεώς, τεθνεῶτος· τεθνεῶσα, τεθνεώσης· τεθνεός, τεθνεότος. Δεδοικώς, δεδοικότος· δεδοικυῖα, δεδοικυίας· δεδοικός, δεδοικότος ἢ δεδιώς, δεδιότος· δεδιυῖα, δεδιυίας· δεδιός, δεδιότος.

Ὑπερσ. ἐτεθνήκειν, ἐτεθνήκεις, ἐτεθνήκει· ἐτεθνήκειμεν, ἐτεθνήκειτε, ἐτεθνήκεσαν ἢ **ἐτέθνασαν**· ἐτέθνατον, ἐτεθνάτην.

ἐδεδοίκειν, κεις, κει· ἐδεδοίκειμεν, ἐδεδοίκειτε, ἐδεδοίκεσαν ἢ **ἐδέδισαν**· ἐδέδιτον, ἐδεδίτην.

ΚΕΦΑΛΑΙΟΝ ΙΣ΄

Ἀόριστοι β΄ κατὰ τὰ εἰς ΜΙ.

§ 96. Τινὰ τῶν βαρυτόνων ῥημάτων ἔχουσιν ἐνεργητικὸν ἀόρ. β΄ κατὰ τὰ εἰς ***μι***. Ταῦτα δὲ εἶναι τὰ ἑξῆς·

γιγνώσκω· ἐνεργ. ἀόρ. β΄ *ἔγνων*, ἔγνως, ἔγνω κτλ. *Ὑποτακτ.* γνῶ, γνῷς, γνῷ κτλ. *Εὐκτ.* γνοίην, γνοίης,

SISMANOGLIO MEGARO

γνοίη κτλ. *Προστ.* γνῶθι, γνώτω, γνῶτε, γνόντων. *Ἀπαρέμφ.* γνῶναι καὶ *Μετοχὴ* γνούς, γνόντος· γνοῦσα, γνούσης· γνόν, γνόντος·

βαίνω· ἀόρ. β΄ *ἔβην*, ἔβης, ἔβη κτλ. *Ὑποτακτ.* βῶ, βῇς, βῇ κτλ. *Εὐκτ.* βαίην, βαίης, βαίη κτλ. *Προστ.* βῆθι, βήτω, βῆτε, βάντων. *Ἀπαρέμφ.* βῆναι καὶ *Μετοχὴ* βάς, βάντος· βᾶσα, βάσης· βάν, βάντος.

φθάνω· ἀόρ. β΄ *ἔφθην*, ἔφθης, ἔφθη κτλ. *Ὑποτακτ.* φθῶ, φθῇς, φθῇ κτλ. *Ἀπαρέμφ.* φθῆναι καὶ *Μετοχὴ* φθάς.

φύομαι (=φυτρόνω)· ἐνεργ. ἀόρ. β΄ ὡς μέσος καὶ παθητικὸς *ἔφυν*, ἔφυς, ἔφυ κτλ. *Ὑποτακτ.* φύω, φύῃς, φύῃ κτλ. *Εὐκτ.* φύοιμι, φύοις, φύοι κτλ. *Ἀπαρέμφ.* φῦναι καὶ *Μετοχὴ* φύς, φύντος· φῦσα, φύσης· φύν, φύντος.

ἁλίσκομαι (=συλλαμβάνομαι, περιέρχομαι εἰς χεῖρας τοῦ ἐχθροῦ ἐπὶ προσώπων καὶ πραγμάτων)· ἐνεργ. ἀόρ. β΄ μετὰ παθ. σημασίας *ἑάλων*, ἑάλως, ἑάλω κτλ. *Ὑποτακτ.* ἁλῶ, ἁλῷς, ἁλῷ κτλ. *Εὐκτ.* ἁλοίην, ἁλοίης, ἁλοίη κτλ. *Ἀπαρέμφ.* ἁλῶναι καὶ *Μετοχὴ* ἁλούς, ἁλόντος· ἁλοῦσα, ἁλούσης· ἁλόν, ἁλόντος·

ζῶ· ἐνεργ. ἀόρ. β΄ *ἐβίων*, ἐβίως, ἐβίω κτλ. *Ὑποτακτ.* βιῶ, βιῷς, βιῷ κτλ. *Εὐκτ.* βιώην, βιώης, βιώη κτλ. *Ἀπαρέμφ.* βιῶναι καὶ *Μετοχὴ* βιούς, βιόντος· βιοῦσα, βιούσης· βιόν, βιόντος·

ἀποδιδράσκω (=δραπετεύω)· ἐνεργ. ἀόρ. β΄ *ἀπέδραν*, ἀπέδρας, ἀπέδρα κτλ. *Ὑποτακτ.* ἀποδρῶ, ἀποδρᾷς, ἀποδρᾷ κτλ. *Εὐκτ.* ἀποδραίην, ἀποδραίης, ἀποδραίη κτλ. *Ἀπαρέμφ.* ἀποδρᾶναι καὶ *Μετοχὴ* ἀποδράς, ἀποδράντος· ἀποδρᾶσα, ἀποδράσης· ἀποδράν, ἀποδράντος.

δύομαι (=βουτῶ)· ἐνεργ. ἀόρ. β΄ ὡς μέσος *ἔδυν*, ἔδυς, ἔδυ κτλ. *Ὑποτακτ* δύω, δύῃς, δύῃ κτλ. *Ἀπαρέμφ.* δῦναι καὶ *Μετοχὴ* δύς, δύντος· δῦσα, δύσης· δύν, δύντος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄

Ἀνώμαλα ῥήματα.

§ 97. Τὰ ἀνώμαλα ῥήματα τῆς ἀρχαίας διαιροῦνται εἰς δύο τάξεις·

Καὶ ἡ μὲν *πρώτη τάξις* περιλαμβάνει τὰ ῥήματα, τὰ ὁποῖα ἔχουσιν ἓν ῥημ. θέμα, ἀλλὰ πρὸς σχηματισμὸν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ ἢ καὶ ἄλλων τινῶν χρόνων προσέλαβον εἰς τὸ τέλος τοῦ ῥημ. θέματος τὰ γράμματα **ν**[1] ἢ **ε** ἢ συλλαβάς τινας.

Ἡ δὲ *δευτέρα τάξις* περιλαμβάνει τὰ ῥήματα, τὰ ὁποῖα ἔχουσι διάφορα μὲν ῥημ. θέματα, ἀλλὰ συγγενῆ κατὰ τὴν σημασίαν, ἐκ τῶν ὁποίων ἐσχημάτισαν τοὺς χρόνους αὐτῶν.

§ 98. Εἰς τὴν *πρώτην τάξιν* ἀνήκουσι·

α΄) Τὰ προσλαβόντα **ν**[1] *ἢ* **νε** *ἢ* **αν** *ἢ* **ιν** *ἢ* **υν** *εἰς τὸν ἐνεστῶτα καὶ παρατατικόν.*

		ῥ. θέμ. **δακ**		
Ἐνεστ.	*Παρατατ.*	*Μέλλων*	*Ἀόριστ.*	*Παρακ.*
δάκΝω	ἔδακΝον	δήξομαι	ἔδακον	
δάκνομαι	ἐδακνόμην		ἐδήχθην	δέδηγμαι
		ῥ. θέμ. **καμ**		
κάμΝω (ἀποκάμνω)	ἔκαμΝον	καμοῦμαι	ἔκαμον	κέκμηκα
		ῥ. θέμ. **φθα**		
φθάΝω	ἔφθαΝον	φθήσομαι	ἔφθασα [καὶ β ἔφθην	ἔφθακα

1) Ῥήματά τινα προσέλαβον τὸ ν καὶ πρὸ τοῦ χαρακτῆρος· ὡς **λαμ-β-άν-ω.**

SISMANOGLIO

Ἐνεστ.	Παρατατ.	Μέλλοντ.	Ἀόριστ.	Παρακ.
		ῥ. θέμ. τεμ		
τέμΝω	ἔτεμΝον	τεμῶ, εἷς κτλ.	ἔτεμον	τέτμηκα
τέμνομαι	ἐτεμνόμην	τεμοῦμαι	ἐτεμόμην	τέτμημαι
		τμηθήσομαι	ἐτμήθην	
		ῥ. θέμ. πι		
πίΝω	ἔπιΝον	πίομαι	ἔπιον	πέπωκα
πίνομαι	ἐπινόμην		ἐπόθην	πέπομαι
		ῥ. θέμ. τι		
τίΝω (ἀποδίδω τὰ ἴσα)	ἔτιΝον	τείσω	ἔτεισα	τέτεικα
τίνομαι		τείσομαι	ἐτεισάμην ἐτείσθην	τέτεισμαι
		ῥ. θέμ. ικ		
(ἀφ)ικΝέο-[μαι-οῦμαι	(ἀφ)ικνεόμην, [-ούμην	(ἀφ)ίξομαι	(ἀφ)ικόμην,	(ἀφ)ῖγμαι
		ῥ. θέμ. ισχ		
ὑπισχΝέο-[μαι-οῦμαι	ὑπισχνεόμην· [ούμην	ὑποσχήσομαι,	ὑπεσχόμην,	ὑπέσχημαι
		ῥ. θέμ. αἰσθ		
αἰσθάΝομαι,	ᾐσθανόμην,	αἰσθήσομαι	ᾐσθόμην,	ᾔσθημαι
		ῥ. θέμ. ἁμαρτ		
ἁμαρτάΝω	ἡμάρτανον,	ἁμαρτήσομαι,	ἥμαρτον	ἡμάρτηκα
ἁμαρτάνομαι	ἡμαρτανό-[μην		ἡμαρτή-[θην	ἡμάρτημαι
		ῥ. θέμ. αὐξ		
αὐξάΝω	ηὔξανον	αὐξήσω	ηὔξησα	ηὔξηκα ἢ
αὔξω	ηὔξον	»	»	»
αὐξάνομαι	ηὐξανόμην,	αὐξήσομαι	ηὐξήθην,	ηὔξημαι ἢ
αὔξομαι	ηὐξόμην	αὐξηθήσομαι		

Ἐνεστ.	Παρατατ.	Μέλλοντ.	Ἀόριστ.	Παρακ.
		ῥ. θέμ. ἀπεχθ		
ἀπεχθάΝομαι (γίνομαι μισητὸς)	ἀπηχθανό-[μην	ἀπεχθήσομαι	ἀπηχθό-[μην	ἀπήχθημαι
		ῥ. θέμ. ὀφλ-ισκ		
ὀφλισκάΝω	ὠφλίσκανον,	ὀφλήσω	ὤφλον	ὤφληκα
	(χρεωστῶ δημοσίᾳ ποινήν, καταδικάζομαι εἴς τι).			
		ῥ. θέμ. λαβ		
λαΜβάΝω	ἐλάΜβΑΝον	λήψομαι	ἔλαβον	εἴληφα
λαμβάνομαι	ἐλαμβανόμην,	ληφθήσομαι,	ἐλήφθην,	εἴλημμαι
		ῥ. θέμ. λαθ		
λαΝθάνω	ἐλάΝθΑΝον	λήσω	ἔλαθον	λέληθα
ἐπιλανθάνο-[μαι (λησμονῶ)	ἐπελανθανό-[μην	ἐπιλήσομαι	ἐπελα-[θόμην	ἐπιλέλησμαι
		ῥ. θέμ. λαχ		
λαΓχάΝω (λαμβάνω διὰ κλήρου)	ἐλάΓχΑΝον	λήξομαι	ἔλαχον	εἴληχα
		ῥ. θέμ. μαθ		
μαΝθάΝω	ἐμάΝθΑΝον	μαθήσομαι	ἔμαθον	μεμάθηκα
		ῥ. θέμ. πυθ		
πυΝθάΝομαι (ἐρωτῶ, μανθάνω)	ἐπυΝθΑΝό-[μην	πεύσομαι	ἐπυθό-[μην	πέπυσμαι
		ῥ. θέμ. τυχ		
τυΓχάΝω	ἐτύΓχΑΝον	τεύξομαι	ἔτυχον	τετύχηκα
		ῥ. θέμ. βα,		
βαίΝω	ἔβαΙΝον	βήσομαι	ἔβην	βέβηκα
βαίνομαι			ἐβάθην	βέβσμαι
		ῥ. θέμ. ἑλα		
ἑλαύΝΩ	ἤλαΥΝον	ἐλῶ, ᾷς, ᾷ κτλ.	ἤλασα	ἐλήλακα.

SISMANOGLIO MEGARO

β') Τὰ προσλαβόντα **σκ**[1] *ἢ* **ισκ** *εἰς τὸν ἐνεστῶτα καὶ παρατατικόν.*

Ἐνεστ.	*Παρατατ.*	*Μέλλων*	*Ἀόριστ.*	*Παρακείμ.*
		ῥ. θέμ. **ἀρε**		
ἀρέΣΚω	ἤρεΣΚον	ἀρέσω	ἤρεσα	
		ῥ. θέμ. **γηρα**		
γηράΣΚω		γηράσομαι	ἐγήρασα	γεγήρακα
		ῥ. θέμ. **παθ**		
πάΣΧω	ἔπαΣΧον	πείσομαι	ἔπαθον	πέπονθα
		ῥ. θέμ. **ἱλα**		
ἱλάΣΚομαι	ἱλαΣΚόμην	ἱλάσομαι	ἱλασάμην	
		ῥ. θέμ. **γιγνω**		
γιγνώΣΚω	ἐγίγνωΣΚον,	γνώσομαι	ἔγνων	ἔγνωκα
γιγνώσκο-	ἐγιγνωσκό-	γνωσθήσο-	ἐγνώσθην,	ἔγνωσμαι
[μαι	[μην	[μαι		
		ῥ. θέμ. **διδαχ**		
διδάΣΚΩ	ἐδίδαΣΚον	διδάξω	ἐδίδαξα	δεδίδαχα
διδάσκομαι,	ἐδιδασκό-	διδάξομαι	ἐδιδαξά-	δεδίδαγμαι
	[μην		[μην	
		διδαχθήσομαι,	ἐδιδάχθην	
		ῥ. θέμ. **διδρα**		
(ἀπο)διδρά-	ἀπεδίδρα-	ἀποδράσομαι,	ἀπέδραν	ἀποδέδρακα
[ΣΚω	[ΣΚον			
		ῥ. θέμ. **τιτρω**		
τιτρώΣΚω	ἐτίτρωΣΚον,	τρώσω	ἔτρωσα	
(κληγόνω)				
τιτρώσκο-	ἐτιτρωσκό-	τρωθήσομαι,	ἐτρώθην,	τέτρωμαι
[μαι	[μην			

3) Τινὰ τούτων ἔλαβον καὶ ἐνεστωτικὸν ἀναδιπλασιασμόν.

ῥ. θέμ. **ἁλ**

Ἐνεστ.	*Παρατατ.*	*Μέλλων*	*Ἀόριστ.*	*Παρακ.*
ἁλίΣΚομαι	ἡλίΣΚόμην	ἁλώσομαι	ἑάλων	ἑάλωκα
(συλλαμβάνομαι ἐν πολέμῳ)			καὶ ἥλων	καὶ ἥλωκα
		ῥ. θέμ. **εὑρ**		
εὑρίΣΚω	εὕρΙΣΚον	εὑρήσω	εὗρον	εὕρηκα
εὑρίσκομαι	εὑρισκόμην	εὑρήσομαι	εὑρόμην	εὕρημαι
		εὑρεθήσομαι,	εὑρέθην	»
		ῥ. θέμ. **θνη**		
ἀποθνήΣΚω	ἀπέθνΗΣΚον	ἀποθανοῦμαι,	ἀπέθανον,	τέθνηκα
		τετελ. μέλ. **τεθνήξω.**		
		ῥ. θέμ. **μνη**		
μιμνήΣΚω	ἐμίμνΗΣΚον	(ἀνα)μνήσω	(ἀν)ἔμνησα	
μιμνήσκομαι	ἐμιμνησκό-	μνησθήσομαι,	ἐμνήσθην,	μέμνημαι
	[μην	*τετελ. μέλ.*	μεμνήσομαι.	

γ') Τὰ προσλαβόντα **ε**· *1) εἰς τὸν ἐνεστῶτα καὶ παρατατικόν.*

ῥ. θέμ. **δοκ**

(δοκΈω)	(ἐδόκΕον)	δόξω	ἔδοξα	γ' ἐν. **δέδοκται**
[δοκῶ	[ἐδόκουν			
(φαίνομαι)				
		ῥ. θέμ. **ὠθ**		
(ὠθΈω)	(ἐώθΕον)	ὦσω	ἔωσα	
[ὠθῶ	[ἐώθουν			
(σπρώχνω)				
(ὠθέομαι)	(ἐωθεόμην)	ὦσομαι	ἐωσάμην	ἔωσμαι
[ὠθοῦμαι	[ἐωθούμην			
		ὠσθήσομαι,	ἐώσθην	»

2) Εἰς τοὺς ἄλλους χρόνους.

ῥ. θέμ. **ἀχθ**

ἄχθομαι	ἠχθόμην	ἀχθΈσομαι	ἠχθΈσθην
(λυποῦμαι, δυ-		*ῥ. θέμ.* **βουλ**	
[σαρεστοῦμαι)			
βούλομαι	ἐβουλόμην,	βουλΉσομαι	ἐβουλΉθην, βεβούλΗ-
(ἐπιθυμῶ)	καὶ		καὶ [μαι
	ἠβουλόμην		ἠβουλΉθην

SISMANOGLIO MEGARO

Ἐνεστ.	Παρατατ.	Μέλλων	Ἀόριστ.	Παρακ.
		ῥ. θέμ. γιγν		
γίγνομαι	ἐγιγνόμην	γενΗσομαι	ἐγενόμην	γέγΟνα· γεγένΗμαι
		ῥ. θέμ. δε		
δέω (ἔχω ἀνάγκην)	ἔδεον	δεΗσω	ἐδέΗσα	δεδέΗκα
δέομαι (παρακαλῶ)	ἐδεόμην	δεΗσομαι	ἐδεΗθην	δεδέΗμαι
		ῥ. θέμ. ἐθελ		
ἐθέλω	ἤθελον	ἐθελΗσω	ἠθέλΗσα	ἠθέλΗκα
		ῥ. θέμ. ἐπιμελ		
ἐπιμέλο[μαι,	ἐπεμελό[μην,	ἐπιμελΗσο[μαι,	ἐπεμελΗ[θην,	ἐπιμεμέλΗ[μαι
		ῥ. θέμ. καθευδ		
καθεύδω (κοιμῶμαι)	ἐκάθευδον	καθευδήσω		
		ῥ. θέμ. ἑψ		
ἕψω (βράζω)		ἑψΗσομαι	ἥψΗσα	
		ῥ. θέμ. μαχ		
μάχομαι	ἐμαχόμην	(μαχΕομαι)	ἐμαχΕσάμην, μεμάχΗμαι [μαχοῦμαι	
		ῥ. θέμ. μελλ		
μέλλω (βραδύνω)	ἔμελλον, [καὶ ἤμελλον	μελΗσω	ἐμέλλΗσα	
		ῥ. θέμ. μελ		
μέλει (τινί), (φροντίζει τις)	ἔμελε(ν)	μελΗσει	ἐμέλΗσε(ν),	μεμέλΗκε(ν)
		ῥ. θέμ. μεν		
μένω	ἔμενον	(μενΕω) μενῶ,	ἔμεινα	μεμένΗκα
		ῥ. θέμ. νεμ		
νέμω (μοιράζω)	ἔνεμον[1]	(νεμΕω) νεμῶ,	ἔνειμα	νενέμΗκα
νέμομαι (κατέχω)	ἐνεμόμην	(νεμΕομαι [νεμοῦμαι	ἐνειμάμην	νενέμΗμαι
		νεμΗθήσομαι	ἐνεμΗθην	

1. Ἴδ. τμ. Α' § 237 ὑποσημ.

		ῥ. θέμ. οἰ		
οἶομαι	ᾠόμην			
καὶ οἶμαι[1] (νομίζω, ὑπο[θέτω)	καὶ ᾤμην[1]	οἰΗσομαι	ᾠΗθην	
		ῥ. θέμ. οἰχ		
οἴχομαι (ἀπέρχομαι [φεύγω)	ᾠχόμην	οἰχΗσομαι		
		ῥ. θέμ. ὀφειλ		
ὀφείλω	ὤφειλον	ὀφειλΗσω	ὠφείλΗσα	ὠφείλΗκα
			β' ὤφελον	
		ῥ. θέμ. χαιρ		
χαίρω	ἔχαιρον	[χαιρΗσω	ἐχάρην	κεχάρΗκα

§ 99. Εἰς τὴν *δευτέραν τάξιν* ἀνήκουσιν·

ῥ. θέμ. **αἱρε, ἑλ**

αἱρέω-αἱρῶ (λαμβάνω, κυριεύω) *ἥρεον-ἥρουν, αἱρήσω.* ἀόρ. β' *εἷλον·* ὑποτ. *ἕλω·* εὐκτ. *ἕλοιμι·* προστ. *ἕλε·* ἀπαρ. *ἑλεῖν.* μετ. *ἑλών, οὖσα, όν·* παρακ *ἥρηκα·*

αἱρέομαι-αἱροῦμαι, *ἡρεόμην-ἡρούμην, αἱρήσομαι* μ. ἀόρ. β' *εἱλόμην·* ὑποτ. *ἕλωμαι·* εὐκτ. *ἑλοίμην·* προστ. *ἕλοῦ·* ἀπαρ. *ἑλέσθαι·* μετ. *ἑλόμενος·* π. μέλ *αἱρεθήσομαι·* π ἀόρ. *ἡρέθην.* Τὸ μέσον *αἱροῦμαι* = ἐκλέγω, προτιμῶ· τὸ δὲ παθ. *αἱροῦμαι* = συλλαμβάνομαι, κυριεύομαι.

ῥ. θέμ. **ἐρχ εἰ, ἐλυθ, ἐλθ**

ἔρχομαι *ἦειν* καὶ *ἦα·* μέλ. *εἶμι·* ἀόρ. β' *ἦλθον,* **ἐλήλυθα,** *ἐληλύθειν.*

ῥ. θέμ. **ἐσθ, ἐδ, φαγ, βρω**

ἐσθίω, *ἤσθιον, ἔδομαι* ἀόρ. β' *ἔφαγον,* **ἐδήδοκα** καὶ *βέβρωκα* (ἐκ τοῦ βιβρώσκω), π. παρακ. *ἐδήδεσμαι* καὶ **βέβρωμαι.**

ῥ. θέμ. **ἑπ, σπ**

ἕπομαι (ἀκολουθῶ), *εἱπόμην, ἕψομαι·* μ. ἀόρ. β' *ἑσπόμην.* ὑποτακ. *(ἐπί)σπωμαι·* εὐκτ. *ἑπι-σποίμην·* προστ. *ἐπί-σπου·* ἀπαρ. *ἑπι-σπέσθαι·* μετ. *ἑπι-σπόμενος.*

1. Μόνον ἐν τῷ α' ἑν. προσώπῳ.

SISMANOGLIO MEGARO

ῥ. θέμ. **ἐχ, ἑχ, σχε, σχ**

ἔχω, (σύνθ. ἀν-έχω, ἀντ-έχω, ἐπ-έχω, ἐν-έχω, μετ-έχω, κατ-έχω, παρ-έχω, προσ-έχω)· παρατ. *εἶχον,* (ἀντεῖχον, ἀπεῖχον κτλ.)· μέλ. *ἕξω* καὶ *σχήσω*· ἀόρ. β′ *ἔσχον*· παρακ. *ἔσχηκα.*

ἔχομαι, *εἰχόμην, ἕξομαι* καὶ *σχήσομαι* μέσ. ἀόρ. β′ *ἐσχόμην.*

ῥ. θέμ. **ὀρα, ὀπ, [εἰδ] ἰδ**

Ὁράω-ὁρῶ, *ἑώρων-ἑώρων, ὄψομαι, εἶδον*· παρακ. *ἑόρακα* καὶ *ἑώρακα.*

ὁράομαι-ὁρῶμαι, παρακ. *ἑώραμαι*· π. μέλ. *ὀφθήσομαι* παθ. ἀόρ. *ὤφθην.*

ῥ. θέμ. **πιπτ, πετ, πτω**

πίπτω, *ἔπιπτον, πεσοῦμαι, ἔπεσον, πέπτωκα.*

ῥ. θέμ. **τρεχ, δραμ**

τρέχω, *ἔτρεχον, δραμοῦμαι, ἔδραμον, δεδράμηκα.*

ῥ. θέμ. **ὀτρ, οἰ, ἐνεγκ, ἐνεκ**

ὀτρύω, *ἔτρυνον, οἴσω*· ἀόρ. *ἤνεγκα*· ἀόρ. β′ *ἤνεγκον, ἐνήνοχα,*

ὀτρύομαι, *ἐτρυνόμην, οἴσομαι, ἠνεγκάμην, ἐνήνεγμαι, ἐνεχθήσομαι, ἠνέχθην.*

ῥ. θέμ. **λεγ, ἐρ, ἐπ, ἐρε**

λέγω, *ἔλεγον, λέξω* καὶ *ἐρῶ, ἔλεξα* καὶ *εἶπα*· β′ *εἶπον, εἴρηκα,*

λέγομαι, *ἐλεγόμην*· μ. μέλ. *λέξομαι,* π. μέλ *λεχθήσομαι* καὶ *ῥηθήσομαι*· π. ἀόρ. *ἐρρήθην*· παρακ. *εἴρημαι*· τετελ. μέλ. *εἰρήσομαι* καὶ *λελέξομαι.*

ῥ. θέμ. **ἀγορευ, ἐρε, ἐπ**

ἀγορεύω, *ἠγόρευον, ἐρῶ, εἶπον, εἴρηκα*·

ἀγορεύομαι, *ἠγορευόμην, ἀγορεύσομαι*· π. μέλ. *ῥηθήσομαι, ἠγορεύθην* καὶ *ἐρρήθην, εἴρημαι.*

ῥ. θέμ. **ζη, βιω**

ζάω-ζῶ, *ἔζων, ζήσω* καὶ *βιώσομαι*· ἀόρ. β′ *ἐβίων, βεβίωκα*

ῥ. θέμ. **ἱζ, ἱζε, ἑζ, ἑδ**

καθίζω (βάλλω τινὰ νὰ καθίσῃ), *ἐκάθιζον, καθιῶ, ἐκάθισα.*

καθίζομαι, *ἐκαθιζόμην, καθιζήσομαι, ἐκαθισάμην* καὶ

καθέζομαι, παρατ. μὲ σημ. ἀορίστου *ἐκαθεζόμην* μέλ. *καθεδοῦμαι*

παίω, τύπτω, πλήττω, πατάσσω· ἐνεστ. *παίω* ἢ *τύπτω*· παρατ. *ἔπαιον* ἢ *ἔτυπτον*· μέλ. *παίσω* ἢ *τυπτήσω*· ἀόρ. *ἔπαισα* ἢ *ἐπάταξα,* παρακ. *πέπαικα* ἢ *πέπληγα* καὶ *πληγὰς δέδωκα*· παρακ. παθ. *πέπληγμαι*· π. μέλ. β′ *πληγήσομαι* π. ἀόρ. β′ *ἐπλήγην*

πωλέω-πωλῶ, πιπράσκω, *ἀποδίδομαι*· ἐνεστ. *πωλῶ*· παρ. *ἐπώλουν* ἢ *ἀπεδιδόμην*· μελ *πωλήσω* ἢ *ἀποδώσομαι*· ἀόρ. *ἐπώλησα* ἢ *ἀπεδόμην*· παρακ. *πέπρακα*· ὑπερσ. **ἐπεπράκειν**· παθ. παρακ. *πέπραμαι*· π. ἀόρ. *ἐπράθην* ἢ *ἐπωλήθην* τετελ. μέλ. *πεπράσομαι.*

σκοπέω-σκοπῶ, σκοπέομαι-σκοποῦμαι, σκέπτομαι· ἐνεστ. πάντοτε *σκοπῶ* ἢ *σκοποῦμαι*· παρατ. πάντοτε *ἐσκόπουν* ἢ *ἐσκοπούμην*· μ. μέλ. *σκέψομαι*· μέσ. ἀόρ. *ἐσκεψάμην*· παρακ. *ἔσκεμμαι*· τετελ. μέλ. *ἐσκέψομαι.*

ῥ. θέμ. **ὠνε, πρια**

ὠνέομαι-ὠνοῦμαι, *ἐωνούμην*· μ. μέλ. *ὠνήσομαι*· μ. ἀόρ. *ἐπριάμην*· π. ἀόρ *ἐωνήθην*· παρακ. *ἐώνημαι.*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ′

Ῥήματα ἀποθετικά.

§ 100. Καὶ τὰ **ἀποθετικὰ** τῆς ἀρχαίας[1] κλίνονται κατὰ τὴν *μέσην φωνήν* (ἴδε Τμ. Α′ § 76. 4).

§ 101. Τὰ **ἀποθετικὰ** ῥήματα εἶναι καὶ ἐν τῇ ἀρχαίᾳ ἐνεργητικῆς διαθέσεως[2].

Τὰ συνηθέστερα ἐκ τῶν ἀποθετικῶν τῆς ἀρχαίας εἶναι τὰ ἑξῆς·

---

1. Εἰπὲ ἀποθετικά τινα τῆς νεωτέρας.

2. Παθητικῆς διαθέσεως εἶναι ὁ *παθ. ἀόριστος* ἐκείνων, ὅσα ἔχουσι καὶ μέσον ἀόριστον.

SISMANOGLIO MEGARO

ἥδομαι (εὐχαριστοῦμαι), ἡδόμην, ἡσθήσομαι, ἥσθην·
αἰδέομαι-αἰδοῦμαι (σέβομαι), ᾐδούμην, αἰδέσομαι, ᾐδεσάμην, ᾐδέσθην.
ἀμιλλάομαι-ἀμιλλῶμαι (συνερίζομαι), ἡμιλλώμην, ἀμιλλήσομαι, ἡμιλλήθην·
ἄχθομαι (δυσαρεστοῦμαι), ἠχθόμην, ἀχθέσομαι καὶ ἀχθεσθήσομαι, ἠχθέσθην·
βούλομαι (ἐπιθυμῶ), ἐβουλόμην, βουλήσομαι, ἐβουλήθην·
εὐλαβοῦμαι (προσέχω, εἶμαι διακριτικός), εὐλαβούμην, εὐλαβήσομαι, εὐλαβήθην·
ἐνθυμέομαι-ἐνθυμοῦμαι (σκέπτομαι), ἐνεθυμούμην, ἐνθυμήσομαι, ἐνεθυμήθην·
οἴομαι (νομίζω, ὑποθέτω), ᾠόμην, οἰήσομαι, ᾠήθην·
ἐπίσταμαι (γνωρίζω), ἠπιστάμην, ἐπιστήσομαι, ἠπιστήθην·
αἰτιάομαι-αἰτιῶμαι (κατηγορῶ), ᾐτιώμην, αἰτιάσομαι, ᾐτιασάμην, ᾐτιάθην·
βιάζομαι (στενοχωρῶ, στενοχωροῦμαι), ἐβιαζόμην, βιάσομαι, ἐβιασάμην, ἐβιάσθην·
δωροῦμαι (δωρίζω), ἐδωρούμην, δωρήσομαι, ἐδωρησάμην, ἐδωρήθην·
ἰάομαι-ἰῶμαι (ἰατρεύω), ἰάσομαι, ἰασάμην, ἰάθην·
κτάομαι κτῶμαι (ἀποκτῶ), ἐκτώμην, κτήσομαι, ἐκτησάμην·
λογίζομαι (λογαριάζω, συλλογίζομαι), ἐλογιζόμην, λογιοῦμαι, ἐλογισάμην, ἐλογίσθην·
ἐργάζομαι, εἰργαζόμην, ἐργάσομαι, εἰργασάμην, εἰργάσθην.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄

Μέσος μέλλων ὡς ἐνεργητικός.

§ 102. Πολλὰ ἐνεργ. διαθέσεως ῥήματα τῆς ἀρχαίας ἔχουσι μέσον μέλλοντα ὡς ἐνεργητικόν.

Τὰ συνηθέστερα τούτων εἶναι τὰ ἑξῆς·

ᾄδω **ᾄσομαι**· ἀκούω **ἀκούσομαι**· ἁμαρτάνω **ἁμαρτήσομαι**· (ἀπαντάω) ἀπαντῶ **ἀπαντήσομαι**· ἀποδιδράσκω **ἀποδράσομαι**· βαδίζω **βαδιοῦμαι**· βαίνω **βήσομαι**· (γελάω) γελῶ **γελάσομαι**· γιγνώσκω **γνώσομαι**· διώκω **διώξομαι** ἀλλὰ καὶ **διώξω**· (ἐπαινέω) ἐπαινῶ **ἐπαινέσομαι** ἀλλὰ καὶ **ἐπαινέσω**· θαυμάζω **θαυμάσομαι**· οἰμώζω (θρηνῶ) **οἰμώξομαι**· (σιωπάω) σιωπῶ **σιωπήσομαι**· τυγχάνω **τεύξομαι**· φεύγω **φεύξομαι.**

ΚΕΦΑΛΑΙΟΝ Κ΄

Ἀπρόσωπα ῥήματα.

§ 103. Ῥήματά τινα τῆς ἀρχαίας, ἐπειδὴ εὑρίσκονται *συνήθως* ἐν τῷ τρίτῳ προσώπῳ πασῶν τῶν ἐγκλίσεων, καλοῦνται **ἀπρόσωπα.** Ταῦτα[1] εἶναι τὰ ἑξῆς·

δεῖ (= πρέπει), ἔδει, δεήσει, ἐδέησε(ν), δεδέηκε(ν)·
πρέπει (= ταιριάζει)·
μέλει (*τινί τινος*), μελήσει, ἐμέλησε(ν), μεμέληκε(ν)·
προσήκει (= ἀνήκει, ἁρμόζει), προσῆκε(ν)·
χρή (= πρέπει, εἶναι ἀνάγκη), ἐχρῆν καὶ χρῆν, χρή-

1. Ἐκ τούτων τὸ **πρέπει** καὶ τὸ **μέλει** ἔχει καὶ ἡ νεωτέρα.

SISMANOGLIO MEGARO

σει, (ἀπ)έχρησε(ν)· Ὑποτακτ. **χρῇ**, Εὐκτ. **χρείη**, Ἀπαρέμφ. **χρῆναι**, Μετοχὴ τὸ **χρεών**·

δοκεῖ (=φαίνεται), ἐδόκει, δόξει, ἔδοξε(ν), δέδοκται, ἐδέδοκτο·

ἔστι(ν) (=ὑπάρχει), ἦν, ἔσται·

ἔνεστι(ν) [2] (=εἶναι δυνατόν), ἐνῆν, ἐνέσται·

ἔξεστι(ν) (=ἐπιτρέπεται, εἶναι περίστασις), ἐξῆν, ἔξέσται·

μέτεστί(ν) (τινί τινος) = μετέχει τίς τινος, μετῆν, μετέσται·

πάρεστί(ν) (τινι) =εἶναι εἰς τὴν ἐξουσίαν τινός, παρῆν, παρέσται·

πέπρωται (=εἶναι πιπρωμένον), (ἐ)πέπρωτο (=ἦτο πεπρωμένον)·

εἵμαρται (=εἶναι πεπρωμένον), εἵμαρτο (=ἦτο πεπρωμένον).

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄

Ῥηματικὰ ἐπίθετα εἰς τός, τή, τόν, καὶ τέος, τέα, τέον

§ 104. Ἐκ τοῦ ῥηματικοῦ θέματος τῶν περισσοτέρων ῥημάτων τῆς ἑλληνικῆς γλώσσης ἐσχηματίσθησαν ἐπίθετα εἰς **τός, τή, τόν** καὶ **τέος, τέα, τέον**, τὰ ὁποῖα λέγονται **ῥηματικά**.

§ 105. Ὁ χαρακτὴρ τοῦ ῥηματικοῦ θέματος, ἐὰν μὲν εἶναι ἓν τῶν φωνηέντων **α, ε, ο**, ἐκτείνεται μετὰ τὴν προσθήκην τῶν ἐπιθετικῶν καταλήξεων **τός** καὶ **τέος** εἰς **η** ἢ **ω**· ἐὰν δὲ εἶναι ἄφωνον, πάσχει τὰς ἐν

2. Εὑρίσκεται καὶ ἔνι.

Τμ. Α΄ § 195, 1, 2, 3, 4, σημειωθείσας πρὸ τοῦ **τ** μεταβολάς, τὰς ὁποίας καὶ ἴδε· ὡς

παιδευτός, παιδευτέος· τιμΗτός, τιμΗτέος· ποιΗτός, ποιΗτέος· μισθΩτός· στρεΠτός· πλεΚτός· ἀΚτός, ἀΚτέος.

§ 106. Ὁ χαρακτὴρ τοῦ ῥημ. θέματος τῶν ἐν §§ 253 καὶ 254 καὶ τῶν εἰς **μι** φωνηεντολήκτων ῥημάτων μένει ἀμετάβλητος καὶ ἐν τοῖς εἰς **τὸς** καὶ **τέος**, π. χ.

ἐπαινΕτός, ἐπαινΕτέος· δρΑστέον· θΕτός, θετΕος· στΑτός, στΑτέος.

§ 107. Ἐκ τῶν ῥηματικῶν ἐπιθέτων·

α΄) Τὰ μὲν εἰς **τός, τή, τὸν** ἰσοδυναμοῦσι κυρίως πρὸς τὴν μετοχὴν τοῦ **παθητικοῦ** *παρακειμένου*, π. χ.

ὁ οἶνός ἐστιν **ἄκρατος** (=οὗ κεκραμένος). Ἔπειτα δὲ σημαίνουσι *τὸν δυνάμενον ἢ ἄξιον νὰ πάθῃ τὸ ὑπὸ τοῦ ῥήματος δηλούμενον*· ὡς

ἔργον **ἐπαινετὸν** (=ἄξιον ἐπαίνου)·

πρᾶξις **κατορθωτὴ** (=δυναμένη νὰ κατορθωθῇ).

§ 108. Τινὰ τῶν εἰς **τὸς** καὶ μάλιστα τὰ σύνθετα ἐκ τοῦ *στερητικοῦ* **α** ἰσοδυναμοῦσι καὶ πρὸς τὴν ἐνεργ. ἢ παθητικὴν μετοχὴν τοῦ ἐνεστῶτος ἢ ἀορίστου π. χ.

ἄπρακτος=ὁ μὴ πράττων, ὁ μὴ πράξας καὶ ὁ μὴ πραχθείς·

ἀπροσδόκητος=ὁ μὴ προσδοκῶν καὶ ὁ μὴ προσδοκώμενος.

β΄) Τὰ δὲ εἰς **τέος, τέα, τέον** σημαίνουσι *τὸν ὀφείλοντα νὰ πάθῃ τὸ ὑπὸ τοῦ ῥήματος δηλούμενον*, π. χ.

πειστέον τοῖς τοῦ πατρὸς λόγοις=ὀφείλει τις νὰ πείθηται εἰς τοὺς λόγους τοῦ πατρός·

τοιαῦτα ὄρη ὁρᾶτε ὑμῖν *πορευτέα*=ἅτινα ὀφείλετε ὑμεῖς νὰ πορευθῆτε.

SISMANOGLIO MEGARO

ΜΕΡΟΣ Γ'

ΕΤΥΜΟΛΟΓΙΚΟΝ

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

§ 1. '***Ετυμολογία*** λέγεται ἡ μελέτη τῆς ἱστορίας τῶν λέξεων· τὸ δὲ μέρος τῆς Γραμματικῆς τὸ περὶ ταύτης πραγματευόμενον λέγεται '***Ετυμολογικόν.***

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'

Διαίρεσις τῶν λέξεων εἰς εἴδη.

§ 2. Πᾶσαι αἱ λέξεις τῆς ἀρχαίας ἑλληνικῆς γλώσσης, καθὼς καὶ αἱ τῆς νεωτέρας, εἶναι ***ἁπλαῖ, σύνθετοι*** καὶ ***παράγωγοι.***

§ 3. Καὶ ***ἁπλαῖ*** μὲν λέγονται ἐκεῖναι, αἱ ὁποῖαι φαίνονται[1] ὅτι ἐσχηματίσθησαν ἐκ ῥίζης καὶ πτωτικῆς ἢ προσωπικῆς καταλήξεως· ὡς ***λύ-ω, λέγ-ω, πιέζ-ω, εἰ-μί, δεσπότ-ης, ὁδό-ς, γύψ, σήμερον.***

§ 4. ***Σύνθετοι*** δὲ λέγονται ἐκεῖναι, αἱ ὁποῖαι ἐσχηματίσθησαν ἐκ τῆς ἑνώσεως *δύο λέξεων αὐθυποστάτων* εἰς μίαν· ὡς ***νομο-θέτης, λογο-ποιός, σύν-θετος, ἀπο-τρέπω, ἄ-πειρος.***

§ 5. ***Παράγωγοι*** δὲ λέγονται ἐκεῖναι, αἱ ὁποῖαι φαίνονται[1] ὅτι ἐσχηματίσθησαν διὰ τῆς προσθήκης

1. Διότι πᾶσαι αἱ λέξεις τῆς ἀρχαίας ἑλληνικῆς γλώσσης, καθὼς καὶ αἱ τῆς νεωτέρας, εἶναι κυρίως **σύνθετοι.**

συλλαβῶν τινων, μετὰ ἢ ἄνευ πτωτικῆς ἢ προσωπικῆς καταλήξεως εἰς τὴν ῥίζαν ***ἁπλῶν*** λέξεων· ὡς ***κρι-τή-ς, τροφ-ό-ς, κτῆ-σι-ς, τι-μή, ἡγε-μών, πρᾶγ-μα, τιμ-άω, καλ-ῶς, ἀριστ-ίνδην, πολλ-άκις.***

Αἱ ***συλλαβαὶ*** αὗται μετὰ ἢ ἄνευ πτωτικῆς ἢ προσωπικῆς καταλήξεως, καλοῦνται ***ἐπιθήματα*** ἢ ***παραγωγικαὶ καταλήξεις.***

§ 6. Ἡ λέξις λέγεται ***πρωτότυπος*** μόνον ἐν σχέσει πρὸς ἄλλην λέξιν, ἥτις παράγεται ἐξ αὐτῆς· ὡς τὸ ***λέγ-ω*** εἶναι ***πρωτότυπος*** ὡς πρὸς τὴν λέξιν ***λόγ-ο-ς***· ἡ ***ὁδὸ-ς*** εἶναι πρωτότυπος ὡς πρὸς τὸ ***ὁδ-εύω***· ἡ λέξις ***γράφ-ω*** εἶναι πρωτότυπος ὡς πρὸς τὴν λέξιν *γράμ-μα.*

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'

Περὶ τῶν συνθέτων λέξεων.

§ 7. Αἱ ***σύνθετοι*** λέξεις εἶναι ἢ ἐπίθετα, ἢ οὐσιαστικά, ἢ ἀριθμητικά, ἢ ῥήματα, ἢ προθέσεις, ἢ ἐπιρρήματα.

§ 8. Ἑκάτερον τῶν συνθετικῶν μερῶν τῆς συνθέτου λέξεως δυνατὸν νὰ εἶναι ἢ ***κλιτὸν*** ἢ ***ἄκλιτον μέρος λόγου.***

Α'. Πρῶτον συνθετικόν.

1. Τὸ ***κλιτὸν*** (οὐσιαστικόν, ἐπίθετον, ἀριθμητικόν, ἀντωνυμία, ῥῆμα).

§ 9. Τὸ καθαρὸν θέμα τοῦ ***κλιτοῦ*** ἐλήφθη ἐν τῇ συνθέσει ὡς πρῶτον συνθετικόν· ὡς

σιτο-φάγος, χαλκο-χίτων, γή-λοφος, Λεω-φόρος, ἀστυ-γείτων, ὀξύ-θυμος, ἑωσ-φόρος, πυρ-φόρος, ταξί-αρχος, πολι-ορκῶ, πυγ-μάχος,

πεντακοσιο-μέδιμνος, αὐτο-γνώμων, ἑτερό-γλωσσος, μύ-ωψ (μύω), ***φθιν-όπωρον*** (φθίνω).

§ 10. Ἀλλ᾽ ὅμως παρέβησαν τὸν ἀνωτέρω κανόνα· 1) Πολλὰ πρωτόκλιτα θέματα ὡς πρῶτα συνθετικὰ μεταβαλόντα τὸ τελικὸν φωνῆεν **α** ἢ **η** ἐν τῇ συνθέσει εἰς **ο**· ὡς

ὑλO-τόμος (ὕλη), ***χωρO-φύλαξ*** (χώρα).

2) Πολλὰ δευτερόκλιτα μεταβαλόντα τὸ **ο** εἰς **η**· ὡς

θαλαμH-πόλος (θάλαμος) ***λαιμH-τόμος*** (λαιμός).

3) Περισσότερα τριτόκλιτα ἢ ἀντιλλάξαντα τὸ τέλος τοῦ θέματός των μὲ τὸ **ο** ἢ τηρήσαντα ἀκέραιον τὸ θέμα καὶ προσλαβόντα ἅμα καὶ **ο**· ὡς

ἀνθO-νόμος, ἀνδρO-κτόνος, ἰχθυO-πώλης.

4) Πολλὰ ῥήματα εἰς τὸ τέλος τοῦ θέματος προσλαβόντα ἢ **ε**· ὡς

φερE-οικος, ἐχE-μυθος

ἢ **ο**· ὡς

ἐθελO-πονος, σωζO-πολις,
λειπO, (λιπO)—τάκτης, φυγO-στρατος

ἢ **σ**· ὡς

κλεΨ-ύδρα (θ. ***κλεΠ+σ***), ***πληΣ-ίστιος*** (θ. ***πλΗ+σ***)·

ἢ **σι**· ὡς

τερΨΙ-θυμος (***τερΠ+ΣΙ***), ***δειΣΙ-δαίμων***·

ἢ σπανιώτερον **σε** ἢ **σο**· ὡς

ΠερΣΕ-φόνη (θεμ. ***περ[θ]+ΣΕ***),
ῥιΨO-κίνδυνος (θέμ. ***ῥιπ+ΣO***).

§ 11. Τοῦ πρώτου συνθετικοῦ τὸ τελικὸν φωνῆεν ὡς ἐπὶ τὸ πλεῖστον μὲν ***ἀπεβλήθη*** πρὸ τοῦ ἀπὸ φωνήεντος ἀρχομένου δευτέρου συνθετικοῦ ὡς·

αἰχμ-άλωτος (***αἰχμΗ-αλωτος***), ἀλλὰ ***θυμO-ειδής***·

σπανιώτερον δὲ συνῃρέθη τὸ μὲν **ο** καὶ **α** εἰς **η**· ὡς

στρατΗγὸς (***στρατO-Αγός***)·

τὸ δὲ **ο** καὶ **ο** εἰς **ω**· ὡς

γαμψΩνυξ καὶ ***γαμψΩνυχος*** (***γαμψO-Ονυξ, ὄνυχος***)·

καὶ τὸ **ο** καὶ **ε** εἰς **ου**· ὡς

θερμOΥργὸς (***θερμο-εργὸς***) κατὰ τοῦτο δὲ καὶ ***πανOΥργος.***

§ 12. Τῶν ἀριθμητικῶν ***εἷς, δύο, τρεῖς, τέσσαρες*** τὸ θέμα ὡς πρῶτον συνθετικὸν ἔγεινε ***μονο- δι- τρι- τετρα-*** (ἀλλὰ καὶ τεσσαρα-)· ὡς

μονό-κερως, δι-κέφαλος, τρί-γωνον,
τετρά-πλευρος, τεσσαρά-γωνος.

§ 13. Συνθέτων τινῶν ὡς πρῶτον συνθετικὸν δὲν ἐτέθη *καθαρὸν θέμα*, ἀλλὰ ***πτῶσις***· ἡ *πτῶσις* αὕτη εἶναι ὡς ἐπὶ τὸ πλεῖστον ***δοτικὴ*** τῆς τρίτης κλίσεως, ἀλλὰ καὶ ***γενικὴ*** καὶ ***αἰτιατικὴ*** καὶ ***ὀνομαστική.*** Τὰ σύνθετα ταῦτα λέγονται ***νόθα***· ὡς

πυρί-φλεκτος, νυκτι-κλέπτης
Διόσ-κουροι, Βόσ-πορος (βοσ=βοὸς κατὰ συγκοπὴν)
νεώσ-οικοι (νεῶν)
νουν-εχής, Παντα-λέων = ἐντελῶς λέων
Νεά-πολις, Ἱερά-πολις·

2) Τὸ ***ἄκλιτον*** (πρόθεσις, ἐπίρρημα).

§ 14. Τοῦτο ὡς πρῶτον συνθετικὸν ἐτέθη ἀμετάβλητον καὶ κατὰ τὴν μορφὴν καὶ τὴν σημασίαν· ὡς

ἀνα-βάλλω, ἐκ-φέρω, ἔξ-οχος, σὺν-δυο, πρό-παλαι
πλημ-μελής, δισ-μύριοι, ἀεί-μνηστος, ἀρτι-μελής,
ἀμφισ-βητῶ.

SISMANOGLIO © MEGARO

§ 15. Τὰ ἀπὸ τοῦ **ὀψὲ** (=ἀργὰ) σύνθετα ἔχουσι πάντα ἐν συνθέσει **ὀψι-**· ὡς

ὀψΙ-μαθής.

§ 16. Εἰς τὰ ἐπιρρήματα καταλέγονται καὶ τὰ λεγόμενα **ἀχώριστα μόρια,** ἅτινα **μόνον** ἐν συνθέσει εὑρίσκονται.

Ταῦτα δὲ εἶναι·

1) Τὸ **στερητικὸν** **ἀ-** πρὸ συμφώνου καὶ **ἀν-** πρὸ φωνήεντος, τὸ ὁποῖον σημαίνει στέρησιν, ἔλλειψιν· ὡς

ἄ-σοφος, ἀν-αίτιος.

2) Τὸ *ἀθροιστικὸν* **ἀ-** ἢ **ἀ-,** τὸ ὁποῖον σημαίνει ἕνωσιν· ὡς

ἀ-δελφός, ἅ-πας.

2) Τὸ *ἐπιτακτικὸν* **ἀ-** τὸ ὁποῖον σημαίνει ἐπίτασιν τῆς ἐννοίας τοῦ ἐπιθέτου· ὡς

ἀ-χανής.

4) Τὸ **δυσ-** τὸ ὁποῖον σημαίνει δυσκολίαν, ἐναντιότητα καὶ κακοτυχίαν· ὡς

δύσ-βατος, δύσ-μορφος.

5) Τὸ **νη-** τὸ ὁποῖον σημαίνει στέρησιν· ὡς

νη-νεμία.

6) Τὰ ἐπιτακτικὰ **ἐρι-, ἀρι-, ζα-**· ὡς

ἀρι-δήλως, ἐρί-τιμος, ζά-πλουτος.

7) Τὸ **ἡμι-** (=ἥμισυς, -εια, -υ)· ὡς

ἡμι-θανής, ἡμι-κύκλιος.

§ 17. Τὰ ἐκ τῶν ἀριθμητικῶν ἄκλιτα **πέντε, ἕξ, εἴκοσι** καὶ **ἑκατὸν** ἐν τῇ συνθέσει ἔγειναν **πεντα-, ἑξα-, εἰκοσα-, ἑκατοντα-**· ὡς

πεντά-πολις, ἑξά-πηχυς
εἰκοσα-ετής, ἑκατοντα-πλασίων.

Β΄ Δεύτερον συνθετικόν.

1) Κλιτόν (ἐπίθετον, οὐσιαστικόν, ῥῆμα).

α΄) Τὸ ἐπίθετον ὡς δεύτερον συνθετικόν.

§ 18. Τοῦτο ὡς δεύτερον συνθετικὸν ἔμεινεν ἀναλλοίωτον· ὡς

δόκιμος, *εὐ-**δόκιμος,*** σαφής, *ἀ-**σαφής.***

β΄) Τὸ οὐσιαστικὸν ὡς δεύτερον συνθετικόν.

§ 19. 1) Ἔμεινεν ἀναλλοίωτον ὡς δεύτερον συνθετικόν, κατέστησε δὲ καὶ τὸ ὅλον σύνθετον τοῦ αὐτοῦ γένους οὐσιαστικόν· ὡς

*χερσό-**νησος, ἀκρό-πολις***
*ἡμί-**ονος, χαμαι-δάφνη.***

2) Ἢ ἔγεινε μὲν ἐπίθετον, χωρὶς νὰ πάθῃ οὐδεμίαν μεταβολήν, ἐπειδὴ τὸ θέμα αὐτοῦ ἦτο ἐπιτήδειον εἰς ἔκφρασιν γένους· ὡς

*ἰσό-**θεος, ἐπί-ορκος, δί-πηχυς, ἐπί-χαρις, μακρό-χειρ,***
*φιλό-**πολις.***

3) Ἢ ἔπαθε μόνον τὴν πρὸς ἔκφρασιν τοῦ γένους ἀπαιτουμένην μεταβολήν· ὡς

*ἀν-**αίτιος*** (αἰτία), *πολυ-**μήχανος*** (μηχανή), *εὔ-**ζωνος*** (ζώνη), *εὔ-**μορφος*** (μορφή), *εὐ-**πάτωρ*** (πατήρ) *εὐ-**γενής*** (γένες-), *δεκα-**ετής*** *(ετλεσ-), ἀ-**πράγ-μων***[1] (πρᾶγμα), *ἄ-**σημος***[1] (σῆμα).

4) Ἢ ἔλαβε τὰ **ἐπιθήματα** (τὰς παραγωγικὰς καταλήξεις) **ο-ς** καὶ **ιο-ς**· ὡς

*ὕπ-ανδρ-**ο-ς, πολυ-χρήματ-ο-ς, βαθύ-γηρως*** *(γηρα-ο-ς)*
*δεκά-μην-**ο-ς, ὑπο-χείρ-ιο-ς ἐπ-ουράν-ιο-ς.***

---

1. Τὰ εἰς **μα** τ οὐδέτερα οὐσιαστικὰ ἔλαβον τὴν μορφὴν **-μον-** (ὀνομ. **μων**), καὶ **μο-** (ὀνομ. **μος**).

SISMANOGLIO MEGARO

γ') Τὸ ῥῆμα ὡς δεύτερον συνθετικόν.

§ 20. Τὸ τέλος τῶν μετὰ προθέσεων συνθέτων ῥημάτων ἔμεινεν ἀμετάβλητον· ὡς

δια-τρέχω, ἐν-ορῶ, ὑφ-ίσταμαι

§ 21. Τὸ ῥηματικὸν θέμα ὡς δεύτερον συνθετικὸν ἐλήφθη εἰς σύνθετα ὀνόματα

α') καθαρὸν μετὰ τροπῆς ἢ ἄνευ τροπῆς τοῦ θεματ. φωνήεντος· ὡς

πρόσ-φυξ (φυγ-ς), *δι-ῶρυξ* (ορυγ-ς).

β') Μετά τινος τῶν ἑξῆς ἐπιθημάτων·

1) **ος**· ὡς

λοχ-αγ-ός (ἀγ-) *ἀδη-φάγ-ος* (φαγ-) *ναυ-αγ-ός* (ἄγ-νυ-μι=θραύω).

2) **η-ς, α-ς, της**· ὡς

δεκάρχ-η-ς, εὐ-εργέ-της, λογο-θήρ-α-ς, γυμνα-σιάρχ η-ς καὶ *γυμνασί-αρχ-ο-ς ταξι-άρχ-η-ς* καὶ *ταξί-αρχ-ο ς.*

3) **ες** (ὀνομαστ. ἀρσ. καὶ θηλ. **ης** οὐδ. **ες**)· ὡς

οἰνοβαρ-ὴς (βαρ-), *εὐ-φυ-ὴς* (φυ-), *ὀξυ-δερκ-ὴς* (δερκ-), *ποδ-ήρ-ης* (αρ-) *εὐ-ώδ-ης* (οδ-).

4) **το**· ὡς

ἀ-δάκρυ-το-ς[1], *ἄ-γνωσ-το-ς.*

2. **Ἄκλιτον** (ἐπίρρημα, πρόθεσις, ἀριθμητικὸν ἄκλιτον).

§ 22. Τοῦτο ὡς δεύτερον συνθετικὸν μένει ἀμετάβλητον· ὡς

ἐξ-αίφνης, σύν-εγγυς, ἀντι-πέραν, ἓν-δεκα.

1. Περὶ τῶν εἰς τος ῥηματικῶν ἐπιθέτων εἴπομεν τὰ δέοντα ἐν Τμ. Α' § § 125 καὶ 126.

§ 23. Τὰ σύνθετα, τῶν ὁποίων τῶν ἓν τῶν δύο συνθετικῶν μερῶν εἶναι καὶ αὐτὸ σύνθετον, λέγονται ***δισύνθετα***· ὡς

ἀ-θυρό-στομος (ἄ-θυρος), *ἀ-κριτό-μυθος* (ἄ-κριτος) *δω-δεκά-δραχμος* (δώδεκα).

§ 24. Τὰ σύνθετα τὰ παραγόμενα ἐξ ἄλλων συνθέτων λέξεων λέγονται ***παρασύνθετα***· ὡς

(εὐ-εργέ-της) ***εὐ-εργε-τέ-ω=ῶ***

(ἱππο-τρόφος) ***ἱππο-τροφέ-ω=ῶ.***

Σημ. Ὅταν τὸ μὲν α' συνθετικὸν λήγει εἰς φωνῆεν βραχύ, τὸ δὲ β' συνθετικὸν ἄρχηται ἀπὸ **ρ**, διπλασιάζεται τὸ **ρ**· ὡς

κατα-ρρέω, μελί-ρρυτος ἀπό-ρρητος.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'

Περὶ τῶν παραγώγων λέξεων.

§ 25. Αἱ ***παράγωγοι*** λέξεις εἶναι ἢ οὐσιαστικά, ἢ ἐπίθετα, ἢ ῥήματα, ἢ ἐπιρρήματα.

Α' Παράγωγα οὐσιαστικά.

§ 26. Ταῦτα παρήχθησαν 1) ἐκ ῥημάτων, 2) ἐξ ἐπιθέτων καὶ 3) ἐξ ἄλλων οὐσιαστικῶν.

1) Οὐσιαστικὰ παράγωγα ἐκ ῥημάτων.

§ 27. Τὰ ἐκ ῥημάτων παραχθέντα οὐσιαστικά, τὰ ὁποῖα καὶ ***ῥηματικὰ*** καλοῦνται, λήγουσιν·

1) Εἰς **-ευ-ς, -τη-ς, -τηρ, -τωρ, -μων, -ο-ς**· ὡς *γνα-φεύ-ς* (ὁ κατεργαζόμενος μάλλινα ὑφάσματα ἢ λευκαίνων αὐτά)· *κρι-τής, κλη-τήρ, ῥή-τωρ, (συν)δαιτυμών*

SISMANOGLIO MEGARO

καὶ σημαίνουσι τὸν πράττοντα ἢ ἐνεργοῦντα τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον.

2) Εἰς **-σι-ς, -σια, -(ε)ια, -τι-ς, -μο-ς, -μη, -το-ς, -τη, -ο-ς, -α, -η**· ὡς

κτῆ-σι-ς, δοκιμα-σία, παιδεία, μαν-ία, πίσ-τι-ς, ὀδυρ-μ-ός, γνώ-μη, κάμα-το-ς, τελε-τή, νό-μο-ς, φθορ-ά, τροφ-ή, ἀρχ-ή, φυλακή, ἁρπαγ-ὴ

καὶ σημαίνουσι τὴν ἔννοιαν τοῦ ῥήματος ὡς **πρᾶξιν.**

3) Εἰς **-μα** καὶ **-ος**· ὡς

βλέμ-μα, ἔθ-ος

καὶ σημαίνουσι τὸ **ἀποτέλεσμα τῆς πράξεως.**

4) Εἰς **-τρο-ν**[1] **(-θρο-ν), -τρα (-θρα), -τήριο-ν, -τηρία, -τήρ, -ευ-ς, -ανο-ν, -ανη, -ονη, -ίς· ὡς**

ἄρο-τρο-ν, κλεῖ-θρο-ν, ψήκ-τρα, κρεμά-θρα, πο-τήριον, βακ-τηρία, νιπ-τήρ, δρέπ-ανον, στεφ-άνη, ἀγχ-όνη, κοπ-ὶς

καὶ σημαίνουσιν **ὄργανον** ἢ **μέσον,** διὰ τοῦ ὁποίου γίνεται ἡ ἐνέργεια τοῦ ῥήματος.

5) Εἰς **-τήριο-ν, -τρο-ν, -τρα**· ὡς

πρα-τήριο-ν[2]*, θέα-τρο-ν, παλαί-σ-τρα*

καὶ σημαίνουσι **τὸν τόπον,** ὅπου γίνεται ἡ ἐνέργεια τοῦ ῥήματος.

Σημ. Εἰς τὸν χαρακτῆρα τοῦ ῥημ. θέματος, ἐξ οὗ παρήχθησαν τὰ ῥηματικὰ οὐσιαστικά, συνέβησαν μετὰ τὴν προσθήκην τῶν ἀπὸ συμφώνου ἀρχομένων παραγωγικῶν καταλήξεων αἱ αὐταὶ μεταβολαί, ἃς εἴδομεν ὅτι συνέβησαν καὶ εἰς

1. Πολλὰ τῶν εἰς **-τρον** ἐν τῷ πληθυντικῷ σημαίνουσιν **ἀμοιβὴν** ἢ **μισθὸν** π. χ. **λύ-τρα, ὠώ-τρα.**

2. Τινὰ ἐκ τῶν εἰς **-τήριον** ἐν τῷ πληθυντικῷ σημαίνουσιν **ἑορτὴν** π. χ. **Πλυν-τήρια, Σω-τήρια.**

τὸν σχηματισμὸν τῶν χρόνων τῶν ῥημάτων· προσέτι δὲ καὶ αἱ αὐταὶ ἐξαιρέσεις

2) Οὐσιαστικὰ παράγωγα ἐξ ἐπιθέτων.

§ 28. Τὰ ἐξ ἐπιθέτων παραχθέντα οὐσιαστικὰ λήγουσι

1) Εἰς **-της**· ὡς *ἰσό-της.*

2) Εἰς **ια** καὶ **εια οια**· ὡς

εὐτυχία, εὐγένεια, εὔνοια βοήθεια

καὶ ἐκφράζουσι τὸ ὑπὸ τοῦ ἐπιθέτου σημαινόμενον ὡς **ἀφῃρημένην ἔννοιαν.**

3) Εἰς **σύνη**[1]· ὡς *δικαι-σύνη, ἱερω-σύνη.*

4) Εἰς **ος**· ὡς *αἰσχ-ος, βάθ-ος.*

5) Εἰς τὰ ἀφῃρημένα οὐσιαστικὰ ταῦτα ἀνάγονται καὶ τά·

θέμις, ἔχθρα, αἰτία, ἀξία καὶ *ἀνδρεία.*

3) Οὐσιαστικὰ παράγωγα ἐξ οὐσιαστικῶν.

§ 29. Τὰ ἐξ οὐσιαστικῶν παραχθέντα οὐσιαστικὰ λήγουσιν·

1) Εἰς **-ευς, -της, -έ-της, -ή-της, -ό-της, -ώ-της**· ὡς

ἱερ-εύς, πολί-της, φυλ-έ-της, κωμ-ή-της, τοξ-ό-της, ναύ-της, στρατι-ώ-της

καὶ σημαίνουσι τὸ πρόσωπον, τὸ ὁποῖον **πράττει** ἢ **ἔχει ὡς ἐπιτήδευμα** τὸ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, σημαινόμενον ἢ **ἀνήκει** εἰς αὐτό, ἢ εὑρίσκεται εἰς σχέσιν τινὰ πρὸς αὐτό.

1. Τὰ εἰς **σύνη** ἀκολουθοῦσι τὰ παραθετικὰ τῶν ἐπιθέτων ὡς πρὸς τὴν ἔκτασιν τοῦ χαρακτῆρος **σ**· ἴδε Τμ. Α' § 71.

SISMANOGLIO MEGARO

2) Εἰς **-ιο-ν, -άριον, -άσιο-ν, -ίδιο-ν, -ύδριο-ν, -ύλλιο-ν, -ύφιο ν** ὡς

κηπίο-ν, παιδάριο-ν, κορ-άσιο-ν, οἰκ-ίδιο-ν, νησ-ύ-δριο-ν, μειρακ-ύλλιο ν ζω-ΐφιο-ν καὶ

Εἰς **-ίς, -ίσκο-ς, -ίσκη, -ίχνη**· ὡς

θεραπαιν-ίς, στεφαν-ίσκος, παιδ-ίσκη, πολ-ίχνη

καὶ σημαίνουσιν ***σμίκρυνσιν*** τῆς ἐννοίας τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, εἴτε χάριν περιποιήσεως εἴτε χάριν ἀστείσμοῦ ἢ ἐμπαιγμοῦ· διὸ λέγονται ***ὑποκοριστικά.***

3) Εἰς **-ων,** καὶ **-ίας,** ὡς

κεφάλ-ων, μετοπ-ίας, οἰηματ-ίας

καὶ σημαίνουσι μεγέθυνσιν τῆς ἐννοίας τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, εἴτε ἁπλῶς εἴτε ἐπὶ τὸ ἐμπαικτικώτερον· διὸ λέγονται ***μεγεθυντικά.***

4) Εἰς **-δη-ς, -ί-δης, -ιάδη-ς -ίων** ἀρσενικά· ὡς

Βορεά-δη-ς, Λαερτ-ιάδη-ς, Ἡρακλε-ίδη-ς, Λαρδαν-ίων, Λητο-ίδη-ς· καὶ

Εἰς **ίς** γεν. *ίδος* καὶ *άς* γεν. *άδος* θηλυκά· ὡς

Ἀτλαντ-ίς, Αἰνει-άς

καὶ *σημαίνουσι κυρίως μὲν τὸν* ***υἱόν, ἐν γένει δὲ τὸν ἀπόγονον***· διὸ λέγονται ***πατρωνυμικά.***

§ 30. Συγγενῆ πρὸς ταῦτα εἶναι τὰ λήγοντα εἰς **ιδοῦς, ιδῆ** καὶ **αδοῦς, αδῆ** καὶ σημαίνοντα συγγένειαν· ὡς

ἀδελφιδοῦς, ἀδελφιδῆ· ἀνεψιαδοῦς, ἀνεψιαδῆ.

5) Εἰς **ιδεύς**· ὡς

ἀετ-ιδεύς, λεοντ-ιδεύς, λαγ-ιδεύς

καὶ σημαίνουσι ***νεογνὸν ζῴου***· διὸ λέγονται ***γονεωνυμικά.***

6) Εἰς **-ιο-ς** θηλ. **ία, εύ-ς** θηλ. **ίς, άτη-ς, ιάτη-ς** θηλ. **ᾶτις, ήτη-ς** θηλ. **ῆτι-ς, ίτη-ς** θηλ. **ῖτι-ς, ώτη-ς** θηλ. **-ῶτι-ς**· ὡς

Κορίνθ-ος	θηλ.	*Κορινθ-ία,*
Ἀθηνα-ῖος	»	*Ἀθηνα-ία,*
Μεγαρ-εὺς	»	*Μεγαρ-ίς,*
Τεγε-ά-της	»	*Τεγε-ᾶτι-ς,*
Σπαρτ-ιάτη-ς	»	*Σπαρτ-ιᾶτι-ς,*
Αἰγιν-ήτη-ς	»	*Αἰγιν-ῆτι-ς,*
Ἀβδηρ-ίτη-ς	»	*Ἀβδηρ-ῖτι-ς,*
Σικελι ώτη-ς	»	*Σικελι-ῶτι-ς*· καὶ

Εἰς **ανός,** θηλ. **ηνή, ηνὸς** θ. **ηνή, ῖνος** θ. **ίνη**· ὡς

Ἀσι-ανὸς	θηλ.	*Ἀσιανή,*
Κυζικ-ηνὸς	»	*Κυζικ-ηνή,*
Ταραντ-ῖνος	»	*Ταραντ-ίνη*

καὶ σημαίνουσι τὸν ***τόπον,*** ἐξ οὗ κατάγεταί τις· διὸ λέγονται ***ἐθνικά.***

7) Εἰς **ών, ωνιὰ** καὶ **ιά**· ὡς

ἐλαι-ών, ῥοδ-ωνιά

καὶ σημαίνουσι ***τόπον,*** ἐν τῷ ὁποίῳ ὑπάρχουσιν εἰς πλῆθος τὰ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, σημαινόμενα· διὸ λέγονται ***περιεκτικά.***

8) Εἰς **-ιο-ν** καὶ **-εῖο-ν**· ὡς

φυλακ-εῖο-ν, γυμνάσ-ιο-ν

καὶ σημαίνουσι ***τὸν τόπον,*** ἐν τῷ ὁποίῳ γίνεται τὸ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγεται, σημαινόμενον· διὸ λέγονται ***τοπικά.***

§ 31. Εἰς ταῦτα κατατάσσονται καὶ τὰ σημαίνοντα τὸν ναὸν ἢ τὸ μνῆμα θεοῦ ἢ ἥρωος· ὡς

Ἡράκλε-ιο-ν, Μουσ-εῖο-ν, ἡρῷο-ν, Ἡρα-ῖο-ν.

SIGMANOGLIO MEGARO

Β΄. Παράγωγα ἐπίθετα.

§ 32. Καὶ ταῦτα παρήχθησαν 1) ἐξ οὐσιαστικῶν 2) ἐξ ἄλλων ἐπιθέτων 3) ἐκ ῥημάτων καὶ 4) ἐξ ἐπιρρημάτων.

1. Ἐπίθετα παράγωγα ἐξ οὐσιαστικῶν.

§ 33. Ταῦτα λήγουσιν·

1) Εἰς **-ιο-ς, [-α-ῖο-ς, ε-ῖο-ς, ῳο-ς] ικό-ς, ιμο-ς, ειο-ς** ὡς

ποτάμ-ιο-ς, ἀγορα-ῖο-ς, βασίλε-ιο-ς, πάτρ-ιο-ς, πατρ-ῷο-ς, βασιλ-ικό-ς, λόγ-ιμο-ς, Ἡροδότ-ειο-ς

καὶ σημαίνουσι **τὸν ἀνήκοντα ἢ ὁπωσδήποτε σχέσιν ἔχοντα** πρὸς τὸ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, σημαινόμενον.

2) Εἰς **ινο-ς, [-ε-ος] οῦς**· ὡς

λίθ-ινο-ς, κρίθ-ινο-ς, ἀργυρ-οῦ-ς, πορφυρ-οῦς

καὶ σημαίνουσι τὴν **ὕλην,** ἐξ ἧς κατεσκευάσθη τι ἢ τὸ χρῶμα τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται.

3) Εἰς **-εις** γεν. **εντος, νο-ς, λος, ρος, λεο-ς**· ὡς

φωνή-εις ἐλεεινό-ς, δειλό-ς, ἰσχν-ρός, ῥωμαλέο-ς,

καὶ σημαίνουσι **πλησμονὴν** τοῦ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, δηλουμένου ἢ **κλίσιν** πρὸς αὐτό.

4) Εἰς **ώδης** γεν. **ώδους**· ὡς

ψαμμ-ώδης, καὶ σημαίνουσι **πλησμονήν,** ἢ ὡς

γυναικ-ώδης, στοιχει-ώδης,

καὶ σημαίνουσι τὸ **ὅμοιον** ἢ τὸ **ἀνῆκον** εἰς τὸ ὑπὸ τοῦ οὐσιαστικοῦ, ἐξ οὗ παράγονται, σημαινόμενον.

Σημ. Ἐν τῷ πληθυντικῷ τοῦ οὐδετέρου τινὰ τῶν εἰς **ωδης** σημαίνουσι τὸ γένος τοῦ οὐσιαστικοῦ π. χ. τὰ **σιτώδη** =τὸ γένος τῶν σιτηρῶν, τὰ **καρνώδη** κλπ.

5) Εἰς **-ινός**· ὡς

ἑσπερ-ινό-ς, θερ-ινὸς

καὶ σημαίνουσι **χρόνον.**

2. Ἐπίθετα παράγωγα ἐξ ἐπιθέτων.

§ 34. Ταῦτα λήγουσιν·

1) Εἰς **-ιο-ς**· ὡς

καθάρ-ιο-ς [καθάρ-ειο-ς]

καὶ σημαίνουσι τὸν **ἀνήκοντα** ἢ **ὁπωσδήποτε σχέσιν ἔχοντα** πρὸς τὸ ὑπὸ τοῦ ἐπιθέτου, ἐξ οὗ παράγονται, σημαινόμενον.

2) Εἰς **-αῖος**· ὡς

δευτερ-αῖος

καὶ σημαίνουσι **χρόνον**· περὶ τούτων ἴδε καὶ σελ. 195 § 22.

3) Ἐπίθετα παράγωγα ἐκ ῥημάτων.

§ 35. Ταῦτα λήγουσι

1) Εἰς **-ικος, -μος, -ιμο-ς, -λος, -τηριο-ς**· ὡς

ἀρχ-ικός, χρήσι-μος, μάχ-ιμος, ἀπατη-λός, πολεμο-τήριος

καὶ σημαίνουσι τὸν **ἱκανὸν** ἢ **ἐπιτήδειον** πρὸς τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον.

2) Εἰς **-μων**· ὡς

πολυπράγ-μων

καὶ σημαίνουσι τὸν ἔχοντα **κλίσιν** πρὸς τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον.

3) Εἰς **-νος, -ρος, -ος** γεν. **ου, -ης** γεν. **-ους**· ὡς

τερπ-νός, λαμπρός, λοιπ-ός, πλήρ-ης

καὶ ἰσοδυναμοῦσι πρὸς τὴν ἐνεργητικὴν ἢ παθητικὴν μετοχὴν τοῦ ῥήματος ἐξ οὗ παράγονται.

SISMANOGLIO MEGARO

4) Εἰς **τος** καὶ **τεος,** περὶ ὧν ἐπανάλαβε τὰ ἐν σελ. 247 § 125, β΄ λεχθέντα.

4) Ἐπίθετα παράγωγα ἐξ ἐπιρρημάτων.

§ 36. Ταῦτα λήγουσιν εἰς **-ινός**· ὡς

χθεσ-ινός, περυσ-ινός

καὶ σημαίνουσι **χρόνον.**

Γ΄ Παράγωγα ῥήματα.

§ 37. Ταῦτα παρήχθησαν 1) ἐξ ὀνομάτων οὐσιαστικῶν ἢ ἐπιθέτων, 2) ἐξ ἄλλων ῥημάτων καὶ 3) ἐξ ἐπιρρημάτων ἢ ἐπιφωνημάτων.

1) Ῥήματα παράγωγα ἐξ ὀνομάτων.

§ 38. Ταῦτα εἶναι πάντα, ὅσα λήγουσι

1) Εἰς **-αω, -ιαω, -εω, -οω, -ευω, -αζω, -ιζω, -αινω, -υνω** καὶ **-ωττω**· ὡς

τολμ-άω, ὀφθαλμ-ιάω, ὠχρ-ιάω, φιλ-έω, ἐλευθερ-όω, βασιλ-εύω, θαυμ-άζω, ἐλπ-ίζω, θερμ-αίνω, ὀξ-ύνω, ἑλλην-ίζω, ***φιλιππ-ίζω, βοιωτι-άζω,*** *λιμ-ώττω*

καὶ σημαίνουσιν· ἢ **εἶμαι** ἢ **ἔχω** ἢ **κάμνω** τὸ ὑπὸ τοῦ ὀνόματος δηλούμενον[1].

§ 39. Ἐκ τῶν εἰς **-αω** σημαίνουσιν ***ἐπιθυμίαν (ἐφετικά)*** τὰ ῥήματα

θανατ-άω = ἐπιθυμῶ τὸν θάνατον
στρατηγι-άω = » τὴν στρατηγίαν.

1. Ὅσα ἐκ τῶν εἰς **-ίζω** ἐγένοντο ἐξ ὀνομάτων κυρίων ἢ ἐθνικῶν σημαίνουσι **μίμησιν.**

2) Ῥήματα παράγωγα ἐκ ῥημάτων.

§ 40. Ταῦτα εἶναι

1) Τὰ λήγοντα εἰς **-αζω** καὶ **-ιζω**· ὡς

(στένω) *στεν-άζω,* (γέμω) *γεμ-ίζω*

τὰ ὁποῖα σημαίνουσιν· κάμνω **θαμὰ** (= συχνὰ) τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον καὶ διὰ τοῦτο λέγονται ***θαμιστικά.***

2) Τὰ λήγοντα εἰς **-ειω**· ὡς

ἀπαλλαξ-είω, πολεμησ-είω,

τὰ ὁποῖα παρήχθησαν κυρίως ἐκ τοῦ θέματος τοῦ μέλλοντος καὶ σημαίνουσιν ***ἐπιθυμῶ*** νὰ πράξω τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον καὶ διὰ τοῦτο λέγονται ***ἐφετικά.*** Ὥστε ***ἀπαλλαξείω*** = ἐπιθυμῶ ν᾽ ἀπαλλαγῶ, νὰ ἐλευθερωθῶ· ***πολεμησείω*** = ἐπιθυμῶ νὰ πολεμήσω.

3) Τὰ λήγοντα εἰς **-σκω**· ὡς

ἡβά-σκω, γηρά-σκω,

τὰ ὁποῖα παρήχθησαν κυρίως ἐκ ῥημάτων δηλούντων ἡλικίαν, καὶ σημαίνουσιν· ἀρχίζω νὰ γίνωμαι ὅ,τι σημαίνει τὸ ῥῆμα καὶ διὰ τοῦτο λέγονται ***ἐναρκτικά.***

3. Ῥήματα παράγωγα ἐξ ἐπιρρημάτων ἢ ἐπιφωνημάτων.

§ 41. Ταῦτα λήγουσιν εἰς **-ζω**· ὡς

(χωρὶς) *χωρί-ζω,* (δίχα) *διχά-ζω*
(οἴμοι) *οἰμώζω* (ἀλαλά) *ἀλαλάζω.*

Δ΄ Παράγωγα ἐπιρρήματα.

§ 42. Ταῦτα παρήχθησαν 1) ἐξ ὀνομάτων (οὐσιαστικῶν ἢ ἐπιθέτων), 2) ἐξ ἀριθμητικῶν, 3) ἐξ ἀντωνυμιῶν, 4) ἐκ ῥημάτων, 5) ἐκ μετοχῶν καὶ 6) ἐξ ἄλλων ἐπιρρημάτων.

§ 43. Καὶ τὰ παράγωγα ἐπιρρήματα, ὡς καὶ τὰ ἁπλᾶ

(ἴδε Τμ. Α' σελ. 11), εἶναι **τροπικά, τοπικά, χρονικὰ** καὶ **ποσοτικά.**

1. Τροπικά.

§ 44. Ταῦτα παρήχθησαν ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ λήγουσι

1) Εἰς **-ως,** ἐξ ἐπιθέτων, ἀντωνυμιῶν καὶ μετοχῶν παραχθέντα· ὡς

σαφ-ῶς, ταχέ-ως, ἄλλ-ως, οὕτ-ως,
διαφερόντ-ως, ὁμολογουμέν-ως.

§ 45. Τὰ ἐξ ἐπιθέτων παραχθέντα ἐπιρρήματα ἔχουσι καὶ **παραθετικά.** Καὶ ὡς *συγκριτικὸν* μὲν τῶν ἐπιρρημάτων χρησιμεύει ἡ ἑνικὴ αἰτιατικὴ τοῦ οὐδετέρου τοῦ συγκριτικοῦ ἐπιθέτου, ὡς *ὑπερθετικὸν* δὲ ἡ πληθυντικὴ αἰτιατικὴ τοῦ οὐδετέρου τοῦ ὑπερθετικοῦ ἐπιθέτου· ὡς

σοφ-ῶς,	*σοφώτερον,*	*σοφώτατα*
ταχέ-ως,	*θᾶττον,*	*τάχιστα*
αἰσχρ-ῶς	*αἴσχιον,*	*αἴσχιστα*
κακ-ῶς,	*κάκιον,*	*κάκιστα*
[ἀγαθῶς] ἢ *εὖ*	*ἄμεινον,*	*ἄριστα*
»	*βέλτιον,*	*βέλτιστα*
»	*κρεῖσσ[ττ]ον,*	*κράτιστα*
ὀλίγον,	*ἧσσ[ττ]ον,*	*ἥκιστα* κτλ.

2) Εἰς **-δόν, -αδόν, -ηδόν, -δην, -άδην, -ίνδην,** ἐξ ὀνομάτων καὶ ῥημάτων παραχθέντα· ὡς

ἀγελη-δόν, ὁμοθυμα-δόν, τουρ-ηδόν,
φύρ-δην, μίγ-δην, σπορ-άδην,
ἀρισι-ίνδην πλουτ-ίνδην.

3) Εἰς **-τι** ἐκ ῥημάτων καὶ ἐπιρρημάτων εἰς **-ως·**

ὀνομασ-τί, νεωσ-τί.

4) Εἰς **-ι, -ει** καὶ **-ς·** ὡς

ἀμισθ-ί, πανδημ-εί, ἀναμίξ (ἀναμίγ-ς).

2) Τοπικά.

§ 46. Ταῦτα παρήχθησαν ἐξ οὐσιαστικῶν ἢ ἀντωνυμιῶν ἢ ἐπιρρημάτων καὶ

1) μὲ τὴν κατάληξιν **-θι** σημαίνουσι τὴν ἐν **τόπῳ στάσιν·** ὡς

αὐτό-θι, ἄλλο-θι κτλ.

2) μὲ τὰς καταλήξεις **-σε, -δε (-ζε)** σημαίνουσι τὴν **εἰς τόπον κίνησιν·** ὡς

ἄλλο-σε, ἐκεῖ-σε, Μέγαρά δε, Ἀθήναζε κτλ.

3) μὲ τὴν κατάληξιν **-θεν** σημαίνουσι τὴν **ἀπὸ τόπου κίνησιν** ὡς

ἄλλο-θεν,	*οἴκοθ-εν,*	*ἑτέρω-θεν*
κάτω-θεν,	*ἐγγύ-θεν,*	*Θήβα-θεν* κτλ.

3) Χρονικά.

§ 47. Ταῦτα παρήχθησαν ἐξ ἀντωνυμιῶν μὲ τὴν κατάληξιν **-τε·** ὡς

ἄλλο-τε, ἑκάστο-τε.

4) Ποσοτικά.

§ 48. Ταῦτα παρήχθησαν ἐξ ἐπιθέτων, ἀριθμητικῶν καὶ ἀντωνυμιῶν μὲ τὴν κατάληξιν **-άκις·** ὡς

πολλ-άκις, πεντ-άκις, ὁποσ-άκις κτλ.

SISMANOGLIO MEGARO

ΠΑΡΟΡΑΜΑΤΑ

Ἐν σελ.	9	καὶ στίχ.	8	πρόσθες μετὰ τὸ «τῆς νεωτέρας» (τίνας;)	
»	11	»	15	γρ. **ποθὲν**	ἀντὶ πόθεν
»	48	»	12	» **ἰμᾶσι(ν)**	» ἱμᾶσι(ν)
»	48	»	12	» **ἐλέφ-σι(ν)**	» ἐλέφ ασι(ν)
»	96	σημειώσει		» **περιῤῥαστι-[κῶς**	» περιφραχτικῶς
»	97	»		» **περιῤῥαστι-[κῶς**	» περιφρασνικῶς
»	118	καὶ στίχ.	4	» **πεπράξομαι**	» πεπράζομαι
»	125	»	§ 210	» **Αἱ μὲν ἐκ...**	» αἱ ἐκ...
»	133	» στίχ.	8	» **Ἀρριανὸς**	» Ἀριανὸς
»	194	»	28	» **ῥᾴδιος**	» ῥάδιος
»	195	»	23	» **εἰκοσταῖος**	» εἐκοσταῖος
»	197	»	4	» ἔνατος καὶ [ἔν-[νατος]	» ἔννατος
»	200	»	2	» **ους**	» οὖς
»	204	»	§ 45	» **καθίζω**	» καθέζω
»	205	»	§ 48	» **εἶμαρται**	» εἱμσρται
»	207	»	54	» **παϑῶν**	» καὶ πασῶν
»	225	»	81	» **ἵημι**	» ἱημι
»	245	»	103	» **τριτοπρόσω-[πα** ἢ ἀπρόσωπα	» ἀπρόσοπα

Σημ. Εὐγνωμόνως θ' ἀποδεχθῶ οἱανδήποτε τοῦ βιβλίου ἔλλειψιν, ἥτις ἤθελέ μοι ἀνακοινωθῆ ὑπὸ τῶν κ. κ. συναδέλφων.

ΠΑΡΑΡΤΗΜΑ ΑΣΚΗΣΕΩΝ

ΕΙΣ ΤΟ Β΄ ΤΜΗΜΑ ΤΗΣ ΓΡΑΜΜΑΤΙΚΗΣ

ΑΣΚΗΣΙΣ Ι.

Περὶ τοῦ Ἑρμοῦ

Α΄. Ὁ **Ἑρμῆς** ἐκαλεῖτο ὑπὸ τῶν ἀρχαίων ψυχοπομπός, ὅτι τὰς ψυχὰς εἰς Ἅδου ἦγεν (ὡδήγει).—Ὁ Ἑρμῆς καὶ τῆς κιθάρας εὑρετὴς λέγεται.—Ὁ Ἑρμῆς, τοῦ Διὸς καλέσαντος, ἀπεκόμισε Διόνυσον εἰς τὸ ἐν τῇ Νύσῃ ἄντρον, κείμενον μεταξὺ Φοινίκης καὶ Νείλου, καὶ παρέδωκε ταῖς νύμφαις τρέφειν.—Ἐν τῷ τοῦ Κάδμου γάμῳ ὁ μὲν Ἑρμῆς λύραν αὐτῷ ἐδωρήσατο, ἡ δ' **Ἀθηνᾶ** ὄρμον περιδέραιον) καὶ πέπλον καὶ αὐλούς.—Τὴν λύραν τὴν Ἑρμοῦ λέγεται μετενεχθῆναι εἰς Λυρνησόν, ἣν Ἀχιλλέα ὕστερον ἐκπορθήσαντα λαβεῖν.—Τῷ Ἑρμῇ προσάπτουσι (ἀποδίδουσι) καὶ τὰς ἐν τοῖς πολέμοις γενομένας ἐπικηρυκείας (τὰς διὰ πρέσβεων διαπραγματεύσεις) καὶ διαλλαγὰς (συμφιλιώσεις) καὶ σπονδὰς καὶ τὸ τούτων σύσσημον (σύμβολον) κηρύκειον.

Περὶ τῆς Ἀθηνᾶς

Β΄. Οἱ Αἰγύπτιοι τὸν ἀέρα **Ἀθηνᾶν** προσηγόρευον μεθερμηνεύοντες τὴν λέξιν.—Ἡ Ἀθηνᾶ Τριτογένεια ὠνομάσθη ἀπὸ τοῦ τρὶς μεταβάλλειν αὐτῆς τὴν φύσιν κατ' ἐνιαυτόν, ἔαρος καὶ θέρους καὶ χειμῶνος.—Ἐλέγετο δ' ἡ Ἀθηνᾶ καὶ Γλαυκῶπις ἀπὸ τοῦ τὸν ἀέρα τὴν πρόσοψιν ἔχειν ἔγγλαυκον.—Τῆς ἐλαίας τὸ φυτὸν τὴν Ἀθηνᾶν εὑρεῖν λέγουσιν.—Ἡ Ἀθηνᾶ λέγεται ὅτι καὶ τὴν **αἰγίδα** ἀνεῖλε (ἐφόνευσε), θηρίον τι καταπληκτικὸν καὶ παντελῶς δυσκαταγώνιστον.

SISMANOGLIO MILANO

ΑΣΚΗΣΙΣ 2

Φράσεις τῶν ἀρχαίων μετὰ τῶν οὐσιαστικῶν **νοῦς** καὶ **πλοῦς**.

«**Νοῦν ἔχω**» σημαίνει εἰμὶ σώφρων. — «***Τὸν νοῦν ἔχω***» ἰσοῦται πρὸς τὸ τῆς νεωτέρας «ἔχω τὸν νοῦν μου» ἢ προσέχω. — «***Σὺν νῷ***» ἰσοῦται πρὸς τὸ ἐπίρρημα φρονίμως. «***Οὐδενὶ σὺν νῷ***» πρὸς τὸ ἀφρόνως, ἀνοήτως. — «***Ἔχω ἐν νῷ***» ἰσοῦται πρὸς τὸ σκέπτομαι. — ***Πλοῦς*** σημαίνει ταξείδιον διὰ θαλάσσης· — «***Πλοῦς γίγνεται***» ἰσοῦται πρὸς τὸ τῆς νεωτέρας «ἀρχίζει νὰ πνέῃ εὐνοϊκὸς ἄνεμος». — «***Δεύτερος πλοῦς***» εἶναι ἀρχαία παροιμία λεγομένη ἐπὶ δευτέρας ἐπιχειρήσεως, ὅταν ἡ πρώτη ἀποτύχῃ. — Καὶ τὸ «***οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθον ἔσθ' ὁ πλοῦς***» εἶναι ἐπίσης παροιμία ἀρχαία λεγομένη ἐπὶ δυσκόλου ἐπιχειρήσεως.

ΑΣΚΗΣΙΣ 3.

Περὶ τῶν ἀθηναϊκῶν νομισμάτων.

Ἐν Ἀθήναις **χρυσᾶ** καὶ **ἀργυρᾶ** καὶ **χαλκᾶ** νομίσματα ἐκόπτοντο. — **Χαλκοῦν** ἦν οὐ μόνον τὸ **λεπτόν**, ἀλλὰ καὶ τὸ **ἑπταπλοῦν** τοῦ λεπτοῦ, ὃ καὶ **χαλκοῦς** ὠνομάζετο. — Τὸ δὲ **δίχαλκον** ἦν καὶ **χαλκοῦν** καὶ **ἀργυροῦν** ἀλλὰ τὸ τετράχαλκον ἀεὶ **ἀργυροῦν**. — Ὀκτὼ χαλκοῖ ἰσότιμοι ἦσαν τῷ **ὀβολῷ**· **Ἓξ ὀβολοὶ** ἰσότιμοι τῇ **δραχμῇ**. — Ἦσαν δὲ καὶ ὁ ὀβολὸς καὶ ἡ δραχμὴ **ἀργυρᾶ** νομίσματα. — **Ἀργυροῦς** δ' ἦν καὶ ὁ **στατήρ**, ὃς καὶ **τετράδραχμον** ὠνομάζετο. — Καὶ **χρυσοῖ στατῆρες** ἐκόπτοντο· τοῦ δὲ **χρυσοῦ** στατῆρος ἡ τιμὴ **δεκαπλῆ** ἦν τῆς τοῦ **ἀργυροῦ**. Ἡ δὲ **μνᾶ** καὶ τὸ **τάλαντον** ἦσαν ὀνόματα μονάδων νομισματικῶν. Τὰς γὰρ ἑκατὸν δραχμὰς **μνᾶν**, τὰς δ' ἑξήκοντα μνᾶς **τάλαντον** ὠνόμαζον.

ΑΣΚΗΣΙΣ 4.

Περὶ τῶν ἀρχαίων Ἑλληνικῶν ναῶν

Α'. **Νεὼ** ὑπῆρχον ἐν Ἑλλάδι ἀρχαιότατα. — Ὁ περὶ τὸν **νεὼν** χῶρος ἐλέγετο **τέμενος**. — Ἐν τῷ τεμένει οὐδεὶς ἐθάπτετο. — Οἱ ἑλληνικοὶ **νεὼ** κατεσκευάζοντο ἐκ ξύλου. — Ἡ **νεὼ** καθιέρωσις θεῷ τινι ἐλέγετο **ἵδρυσις**. — Τοῖς ἀρχαίοις ἑλληνικοῖς **νεῴς** θυρίδες οὐκ ἦσαν. — Οἱ **νεὼ** ἐφωτίζοντο ἢ τῷ διὰ τῆς θύρας εἰσερχομένῳ φωτὶ ἢ λύχνοις **ἐν** αὐτοῖς καιομένοις. — Πρὸ τῶν μηδικῶν ἱδρύθησαν ἐν Ἑλλάδι **νεὼ** ὑπερμεγέθεις καὶ περικαλλεῖς. — Τῶν **νεῴων** τὸ σχῆμα ἦν ἐπιμηκες ἢ κυκλοτερές. — Οἱ **νεὼ** οὗτοι ἐφωτίζοντο δι' ὀπῆς ἐν τῷ μέσῳ τοῦ ὄροφου. — Πολλοὶ τῶν μεγάλων **νεῴων** συνίσταντο ἐκ τριῶν μερῶν τοῦ **προνάου** ἢ **προδόμου**, τοῦ **κυρίως νεὼ** ἢ **σηκοῦ** καὶ τοῦ **ὀπισθοδόμου**. — Ὁ σηκὸς ἦν ἡ κατοικία τῆς θεότητος, ἧς τὸ ἄγαλμα περιελάμβανεν. — Ὁ χῶρος, ἔνθα τὸ ἄγαλμα ἵστατο, ἐλέγετο **ἔδος**. — Ἐν τοῖς **νεῴοις**, ἐν οἷς ἐδίδοντο χρησμοί, ἢ ἐτελοῦντο μυστήρια ὁ σηκὸς ἐλέγετο **ἄδυτον**, **μέγαρον** ἢ **ἀνάκτορον**. — Ἐν τῷ **ὀπισθοδόμῳ**, κειμένῳ ἐν τῷ ὀπισθίῳ τοῦ **νεῴ**, ἐφυλάττοντο τὰ κειμήλια αὐτοῦ.

Περὶ τοῦ Ἅδου.

Β'. Ἅδην καλοῦσιν οἱ παλαιοὶ τόπον **σύμπλεων** σκότους καὶ φόβου. — Ἐν Ἅδου αἱ οἰκίαι **ἔμπλεῳ** ψυχῶν εἰσιν. — Ὁ Ἅδης περιέχεται φοβεροῖς ποταμοῖς, οἳ ἐκρέουσιν εἰς λίμνην δεινήν, φόβου **ἀνάπλεων**. — Ἡ εἴσοδος τοῦ Ἅδου χαλκαῖς πύλαις κλείεται καὶ ταύτην ὁ Κέρβερος φυλάττει. — Ἄρχων τοῦ Ἅδου ἐστὶν ὁ Πλούτων· κριταὶ δ' ἐν αὐτῷ Ραδάμανθυς, Αἰακὸς καὶ **Μίνως** εἰσίν.

ΑΣΚΗΣΙΣ 5.

Περὶ τοῦ Διός

Ζεὺς υἱὸς ἦν Ρέας καὶ Κρόνου. — Ὁ **Ζεὺς** τὸν ἐναντίον τῷ πατρὶ βίον ἐζήλωσεν. — Παρεχόμενος γὰρ ἑαυτὸν πᾶσιν ἐπιεικῆ καὶ φιλάνθρωπον ὑπὸ τοῦ πλήθους πατὴρ προσηγορεύθη. — Διὸ ὁ πατὴρ ἐπεστράτευσε μετὰ τῶν Τιτάνων ἐπὶ τὸν **Δία**. Νικητὴς δὲ γενόμενος ὁ **Ζεὺς** καὶ κύριος τῶν ὅλων ἐπῆλθεν ἅπασαν τὴν οἰκουμένην εὐεργετῶν τὸ γένος τῶν ἀνθρώπων. — ὁ **Ζεὺς** τοὺς συναγωνισαμένους αὐτῷ τῶν θεῶν μόνους Ὀλυμπίους ὠνόμασεν. — Ἠξίωσε δὲ ταύτης τῆς προσηγορίας τῶν ἐκ θνητῶν **γυναικῶν** γενομένων Διόνυσον καὶ

SISMANOGLIO MEGARO

Ἡρακλέα, οὐ μόνον ὅτι πατρὸς ἦσαν *Διός*, ἀλλὰ διότι καὶ μεγάλα εὐεργέτησαν τὸν βίον τῶν ἀνθρώπων. — Προμηθέα δὲ, διότι τὸ *πῦρ* τοῖς ἀνθρώποις παρέδωκε δεσμοῖς κατελάβετο (ἐδέσμευσε) καὶ παρέστησεν ἀετὸν τὸν ἐσθίοντα τὸ ἦπαρ αὐτοῦ.

ΑΣΚΗΣΙΣ 6.

Ἀρχαῖαι παροιμίαι.

Ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων· τοὺς μὲν γὰρ ἐχθροὺς φοβούμενοι φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεφγμένοι εἰσίν. — *Ἡ φρονεῖν ἔλασσον ἢ δύνασθαι δεῖ μεῖζον* ἤτοι· ἀνάλογος πρὸς τὴν δύναμιν νὰ εἶναι καὶ τὸ φρόνημά σου. — *Κρεῖσσον ἃ παρέλιπες* λεγομένη ἐπὶ τῶν μωρολογούντων. — *Ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον* (ἀκατόρθωτον) *οὐδέν*. — *Ἄμεινον ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχάς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα*. — *Κρεῖττον πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι ἢ πολλὰ μετὰ φθόνου*· καὶ γὰρ καλλίων καὶ ἡδίων οὗτος ὁ βίος.

ΑΣΚΗΣΙΣ 7.

Μεταρρύθμισις τοῦ ῥωμαϊκοῦ ἡμερολογίου ὑπὸ Νομᾶ.

Ὅτε Ῥωμύλος ἐβασίλευεν, οἱ Ῥωμαῖοι ἀλόγως ἐχρῶντο τοῖς μησὶ καὶ ἀτάκτως, τοὺς μὲν οὐδὲ *εἴκοσιν* ἡμερῶν, τοὺς δὲ *πέντε καὶ τριάκοντα*, τοὺς δὲ πλειόνων λογιζόμενοι· τῆς δὲ γενομένης ἀνωμαλίας περὶ τὴν σελήνην καὶ τὸν ἥλιον ἔννοιαν οὐκ ἔχοντες, ἓν ἐφύλαττον μόνον, ὅπως *ἑξήκοντα καὶ τριακοσίων* ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται... Νομᾶς δὲ τὸ παράλλαγμα (τὴν διαφορὰν) τῆς ἀνωμαλίας *ἔνδεκα* ἡμερῶν λογιζόμενος, ὥρισε τὸ μὲν σεληνιακὸν ἔτος ἡμερῶν *τριακοσίων πεντήκοντα τεσσάρων*, τὸ δὲ ἡλιακὸν *τριακοσίων ἑξήκοντα πέντε*· τὰς *ἔνδεκα* δὲ ταύτας ἡμέρας διπλασιάζων εἰσήγαγε παρ' ἐνιαυτὸν ἐπὶ τῷ Φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον (παρείσακτον), ὑπὸ Ῥωμαίων Μερκηδῖνον καλούμενον, *εἴκοσι καὶ δυοῖν* ἡμερῶν

ὄντα. Μετεκίνησε δὲ καὶ τὴν τάξιν τῶν μηνῶν· τὸν γὰρ Μάρτιον *πρῶτον* ὄντα *τρίτον* ἔταξε, πρῶτον δὲ τὸν Ἰανουάριον, ὃς ἦν *ἑνδέκατος* ἐπὶ Ῥωμύλου, *δωδέκατος* δὲ καὶ τελευταῖος ὁ Φεβρουάριος, ᾧ νῦν *δευτέρῳ* χρῶνται. Πολλοί δέ εἰσιν, οἳ καὶ προστεθῆναι τούτους ὑπὸ Νομᾶ τοὺς μῆνας λέγουσι, τόν τε Ἰανουάριον καὶ τὸν Φεβρουάριον, ἐξ ἀρχῆς δὲ χρῆσθαι *δέκα* μόνον εἰς τὸν ἐνιαυτόν, ὡς ἔνιοι τῶν βαρβάρων *τρισί*, καὶ τῶν Ἑλλήνων Ἀρκάδες μὲν *τέσσαρσιν*, ἔξ δὲ Ἀκαρνᾶνες, Αἰγυπτίοις δὲ *μηνιαῖος* ἦν ὁ ἐνιαυτός, εἶτα τετράμηνος, ὥς φασιν.

ΑΣΚΗΣΙΣ 8')

Ἀναδεικνὺ ὑπὸ Ξενοφῶντος τῆς εἰς τὸν Σωκράτη ἀποδοθείσης κατηγορίας, ὅτι συνετέλεσε διὰ τῆς διδασκαλίας του εἰς τὴν ἀκολασίαν τοῦ Κριτίου καὶ τοῦ Ἀλκιβιάδου.

Ἀλλ' ἔφη γε ὁ κατήγορος, Σωκράτει, *ὁμιλητὰ (= μαθητὰ) γενομένω* Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν *ἐποιησάτην*. Ἐγὼ δ', εἰ μέν τι κακὸν *ἐκείνω* τὴν πόλιν *ἐποιησάτην*, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτη συνουσίαν (συναναστροφὴν) *αὐτοῖν* ὡς ἐγένετο διηγήσομαι. Ἐγενέσθην μὲν γὰρ (= δηλαδὴ) *τὼ ἄνδρε τούτω* φύσει *φιλοτιμωτάτω* πάντων Ἀθηναίων, *βουλομένω* τε πάντα δι' ἑαυτῶν πράττεσθαι καὶ πάντων *ὀνομαστοτάτω* γενέσθαι. *Ὁρῶντε* δὲ Σωκράτη αὐταρκέστατα μὲν ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο (ὅτι ὁ Σωκράτης μετεχειρίζετο τοὺς μετ' αὐτοῦ διαλεγομένους ὅπως ἤθελε, ἕνεκα δηλ. τῆς διαλεκτικῆς δεινότητός του), καὶ *ὄντε οἷω προείρησθον, ἐπεθυμησάτην* τῆς Σωκράτους συνουσίας, οὐ τῆς ἐκείνου σωφροσύνης ἕνεκα, ἀλλὰ *νομίσαντε*, εἰ *ὁμιλησαίτην* ἐκείνῳ, γενέσθαι ἂν *ἱκανωτάτω* λέγειν τε καὶ πράττειν. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, εἰ Θεὸς διδοίη *αὐτοῖν* ἢ ζῆν ὅλον τὸν βίον

---

1) Ἡ ἄσκησις αὕτη νὰ δοθῇ μετὰ τὴν ἐκμάθησιν ὑπὸ τῶν μαθητῶν καὶ τοῦ δυϊκοῦ τῶν ῥημάτων.

SISMANOGLIO

ὥσπερ ζῶντα Σωκράτη ἑώρων ἢ τεθνάναι, ἑλέσθαι ἂν (ὅτι ἤθελον προτιμήσει) μᾶλλον **αὐτὼ** τεθνάναι. ***Δήλω δ' ἐγενέσθην*** ἐξ ὧν ***ἐπραξάτην***· ὡς γὰρ τάχιστα (εὐθὺς ἀφοῦ) ***κρείττους*** τῶν συγγιγνομένων (συμμαθητῶν) ***ἡγησάσθην*** εἶναι, εὐθὺς ***ἀποπηδήσαντε*** (ἀπομακρυνθέντες ἀποτόμως) Σωκράτους ***ἐπραττέτην*** τὰ πολιτικὰ (ἐπολιτεύοντο), ὧν περ ἕνεκα Σωκράτους ***ὠρεχθήτην***.

ΑΣΚΗΣΙΣ 9.

Παραδείγματα ἀνωμάλου ἀναδιπλασιασμοῦ καὶ αὐξήσεως.

Οἱ πολέμιοι ἐώθουν καὶ ἐωθοῦντο. — Τῷ στρατεύματι εἵποντο πολλαὶ ἅμαξαι. — Τὸ Μιλτιάδου τρόπαιον οὐκ εἶα Θεμιστοκλέα καθεύδειν. — Ὁ νοσῶν ἐφκει ἀποθνήσκοντι. — Οἱ Εἵλωτες τοῖς Λακεδαιμονίοις εἰργάζοντο τὴν γῆν. — Αἱ ἐλαῖαι παρεῖχον μεγάλην ὠφέλειαν τοῖς οἰκοῦσι τὴν Ἀττικήν. — Ἡ γέφυρα ὑπὸ τῶν βαρβάρων κατείληπται. — Τὸν λόφον οἱ πολέμιοι κατειλήφεσαν. — Ὁ ἑορακὼς μεμαρτύρηκεν. — Χθὲς ὁ βασιλεὺς εἱστίασε τοὺς στρατηγούς. — Ἀριαῖος, ὡς ἤσθετο Κῦρον πεπτωκότα, ἔφυγεν.

ΑΣΚΗΣΙΣ 10.

Παραδείγματα ἀττικοῦ ἀναδιπλασιασμοῦ.

Πάλαι ***ἀκηκόαμεν*** ὅτι Κῦρος ἔδωκε Κλεάρχῳ χρήματα, ἵνα συλλέξῃ στράτευμα. — Οἱ Ἕλληνες γελῶντες εἰς τὰς σκηνὰς ***ἐληλύθεσαν***. — Μύρῳ ***ἀλήλιπται***. — ***Διειλέγμεθα*** τοῖς φίλοις ὥσπερ καὶ πρότερον. — Ὑπὸ Ξέρξου ὁ Ἄθως ***διωρώρυκτο***. — ***Ἐγρήγορας*** ἢ καθεύδεις; — ***Ὡμωμόκεσαν*** αἱ πόλεις ἐμμενεῖν τῇ εἰρήνῃ. — Οἱ Ἀθηναῖοι ὠργίζοντο τῷ Ἀλκιβιάδῃ, οἰόμενοι δι' ἀμέλειαν ***ἀπολωλεκέναι*** τὰς ναῦς. — Ἔλεγεν ὁ Πλάτων τὰς ἐλπίδας ***ἐγρηγορότων*** ἀνθρώπων ὀνείρους εἶναι.

ΑΣΚΗΣΙΣ 11.

Χαρώνδας ὁ Θουρίων νομοθέτης.

Χαρώνδας, ὁ ἄριστος τῶν ἐπὶ παιδείᾳ θαυμαζομένων Θουρίων, ᾑρέθη (ἐξελέγη) ὑπὸ τῶν πολιτῶν νόμους ***θέσθαι***. Οὗτος ἐπισκεψάμενος τὰς ἁπάντων νομοθεσίας ἐξελέξατο τὰ κράτιστα καὶ κατέταξεν εἰς τοὺς νόμους. Τούτων τινὰς οὐκ ἀνοίκειόν ἐστιν ἐπιμνησθῆναι πρὸς διόρθωσιν τῶν ἀναγινωσκόντων.

Τοὺς ἐπὶ συκοφαντίᾳ καταγνωσθέντας ***ἔθηκε*** περιπατεῖν ἐστεφανωμένους μυρίκῃ (εἴδος θάμνου· κ. ***ἀμυρίκη***), ὅπως ἐν πᾶσι τοῖς πολίταις φαίνωνται τὸ πρωτεῖον τῆς πονηρίας περιποιημένοι. — Περὶ κακομιλίας (κακῆς συναναστροφῆς) νόμον ***ἔθηκε***, ᾧ (δι' οὗ) ἀπηγόρευσε τοῖς πολίταις τῇ τῶν πονηρῶν φιλίᾳ καὶ συνηθείᾳ χρῆσθαι. — Ἐνομοθέτησε τοὺς υἱεῖς τῶν πολιτῶν ἅπαντας ***μανθάνειν γράμματα***, χορηγούσης τῆς πόλεως τοὺς μισθοὺς τοῖς διδασκάλοις. Διὰ γὰρ τῶν γραμμάτων τὰ πλεῖστα καὶ χρησιμώτατα τῶν πρὸς τὸν βίον ἐπιτελοῦνται· τίς γὰρ ἂν ἄξιον ἐγκώμιον ***διαθεῖτο*** τῆς τῶν γραμμάτων μαθήσεως; διὰ γὰρ τούτων μόνων οἱ μὲν τετελευτηκότες τοῖς ζῶσι διαμνημονεύονται, οἱ δὲ μακρὰν τοῖς τόποις ***διεστῶτες*** τοῖς πλεῖστον ἀπέχουσιν ὡς πλησίον ***παρεστῶσι*** διὰ τῶν γεγραμμένων ὁμιλοῦσι· καθόλου δὲ τὰς χαριεστάτας τῶν φρονίμων ἀνδρῶν ἀποφάσεις καὶ θεῶν χρησμούς, ἔτι δὲ πᾶσαν παιδείαν μόνη τηρεῖ καὶ τοῖς ἐπιγιγνομένοις ἀεὶ ***παραδίδωσιν*** εἰς ἅπαντα τὸν αἰῶνα. Διὸ καὶ τοῦ μὲν ζῆν τὴν φύσιν αἰτίαν δεῖ ὑπολαμβάνειν, τοῦ δὲ καλῶς ζῆν τὴν ἐκ τῶν γραμμάτων ***συγκειμένην*** παιδείαν. — Ἕτερον δὲ ***ἔθηκε*** νόμον κατὰ τῶν λιπόντων τὴν ἐν πολέμῳ τάξιν ἢ τὸ σύνολον μὴ ἀναλαβόντων τὰ ὅπλα ὑπὲρ τῆς πατρίδος. Τῶν γὰρ ἄλλων νομοθετῶν κατὰ τῶν τοιούτων ***τεθεικότων*** θάνατον τὸ πρόστιμον, οὗτος προσέταξε τοὺς τοιούτους ἐν τῇ ἀγορᾷ ἐφ' ἡμέρας τρεῖς ***καθῆσθαι*** ἐν ἐσθῆσι γυναικείαις.

Τὸν δ' οὖν Χαρώνδαν ***φασὶ*** παραδοξότατον νόμον ***τεθεικέναι*** περὶ τῆς διορθώσεως τῶν νόμων. Προσέταξε γὰρ τὸν βουλόμενον ***μεταθεῖναί*** τινα νόμον, ὅταν ποιῆται τὴν περὶ τῆς διορθώσεως συμβουλίαν, τὸν ἑαυτοῦ τράχηλον εἰς βρόχον

SISMANOGLIO MEGARO

(θηλειάν) ***ἐντιθέναι*** καὶ μένειν ἄχρι ἂν ὅτου τὴν ψῆφον ὁ δῆμος περὶ τοῦ διορθουμένου ***θῆται***. Καὶ εἰ μὲν ἡ ἐκκλησία προσδεξαμένη τὸν ὕστερον γραφόμενον ***μεταθείη*** τὸν πρότερον, ἀπελύετο ὁ εἰσηγησόμενος. εἰ δὲ μή, παραχρῆμα θνήσκειν αὐτὸν ἔδει ὑπὸ τοῦ βρόχου σφιγγόμενον.

ΑΣΚΗΣΙΣ 12.

Δημηγορία Θρασυβούλου πρὸς τοὺς μετ' αὐτοῦ φυγάδας πρὸ τῆς παρὰ τὸν Πειραιᾶ μάχης

Θρασύβουλος ἐν ᾧ ***προσῄεσαν*** οἱ ἐναντίοι, κελεύσας τοὺς μετ' αὐτοῦ ***θέσθαι*** τὰς ἀσπίδας καὶ αὐτὸς ***θέμενος***, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον ***στὰς*** ἔλεξεν.

Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δ' ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι ***εἰσί*** τῶν ***προσιόντων*** οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέραν πέμπτην τρεψάμενοι ἐδιώξατε, οἱ δὲ ***ἐπὶ*** τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεων ἀπεστέρουν καὶ οἰκιῶν ἐξήλαυνον. Ἀλλὰ νῦν παραγεγενήμεθα (ἔχομεν ἔλθει, καταντήσει) οὗ (ἐκεῖ, ὅπου) ἀεὶ εὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς ***καθέσταμεν*** οἱ δὲ θεοὶ νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ (καλοκαιρίᾳ· χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ, καὶ ὅταν ἐγχειρῶμεν, καίτοι πολλοὶ ***εἰσιν*** ἐναντίοι, ἡμῖν ὀλίγοις ***οὖσι*** τρόπαια ***ἵστασθαι διδόασι***· καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς εἰς χωρίον (τοποθεσίαν), ἐν ᾧ οὗτοι οὔτε βάλλειν (τοξεύειν) οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων διὰ τὸ πρὸς ὄρθιον ***ἰέναι δύναιντ'*** ἄν, ἡμεῖς δὲ εἰς τὸ κάταντες (**τὴν κατηφορειὰ**) καὶ δόρατα ***ἀφιέντες*** καὶ ἀκόντια καὶ πέτρους ἐξιξόμεθά τε αὐτῶν (**θὰ τοὺς πετυχαίνωμε**) καὶ πολλοὺς κατατρώσομεν. Νῦν δέ, ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ***ἀφιῆτε*** βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς (κανεὶς δὲν θ' ἀποτύχῃ) ὧν γε μεστὴ ἡ ὁδός, ἐὰν δὲ φυλάττωνται, δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ***ἐξέσται*** ὥσπερ τυφλοὺς καὶ τύπτειν ὅπου ἂν βουλώμεθα καὶ ἐναλλομένους (**πηδῶντας ἐπάνω τους**) ἀνατρέπειν. Ἀλλ' ὦ ἄνδρες οὕτω χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ***ξυνείσεται*** (**θὰ νοιώθη μέσα του**) τῆς νίκης αἰτιώτατος ***ὤν***. Αὕτη γὰρ

ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ***ἀποδώσει*** καὶ πατρίδα καὶ οἴκους καὶ ἐλευθερίαν καὶ τιμὰς καὶ παῖδας. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ· μνημείου γὰρ οὐδείς, κἂν πλούσιος ᾖ, οὕτω καλοῦ τεύξεται. Ἐξάρξω μὲν οὖν ἐγώ, ἡνίκ' ἂν κοιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον (Ἄρην) παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδὸν ***ἴωμεν*** ἐπὶ τοὺς ἐναντίους τιμωρούμενοι αὐτοὺς ἀνθ' ὧν ὑβρίσθημεν.

ΑΣΚΗΣΙΣ 13.

Ἀλέξανδρος ὁ Μέγας πολιορκῶν τὴν Τύρον. Ματαίωσις τῶν πολιορκητικῶν αὐτοῦ ἔργων ὑπὸ τῶν Τυρίων διὰ πυρπολικῶν.

Ἀλέξανδρος ***γνοὺς*** (ἀποφασίσας) πολιορκεῖν τὴν Τύρον, ἐκέλευσε ***χῶμα χωννύναι*** (**νὰ κάμουν μῶλο**) ἐκ τῆς ἠπείρου (**ἀπὸ τὴν στεριὰ**) ὡς ἐπὶ τὴν πόλιν (**εἰς τὴν πόλιν διὰ νὰ τὴν πολιορκήσῃ**)· ἔστι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον. Καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα (**ῥηχὰ**) καὶ πηλώδη αὐτοῦ, τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, τριῶν μάλιστα (περίπου) ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων τε πολλῶν ἀφθονία ***ἦν*** καὶ ὕλης (**ξυλικῆς**), ἣν τινα τοῖς λίθοις ἄνωθεν ***ἐπετίθεσαν***· χάρακές τε (**παλοΐκια**) οὐ χαλεπῶς ***κατεπήγνυντο*** ἐν τῷ πηλῷ καὶ αὐτὸς ὁ πηλὸς σύνδεσμος τοῖς λίθοις εἰς τὸ ἐπιμένειν ἐγίγνετο. Ἀλλ' ἕως μὲν τὸ πρὸς τῇ ἠπείρῳ ***ἐχώννυτο***, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον ***χωννύμενον*** καὶ οὐδενὸς ἐξειργοντος (ἐμποδίζοντος). Ὡς δὲ τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο οἱ Μακεδόνες, ἀπὸ τῶν τειχῶν βαλλόμενοι ἐκακοπάθουν. Τούτου δ' ἕνεκα πύργους ἐπάνω τοῦ χώματος ***ἐπέστησαν*** δύο καὶ μηχανὰς ἐπὶ τοὺς πύργους. Προκαλύμματα δὲ δέρρεις (δέρματα ἀκατέργαστα) καὶ διφθέρας (δέρματα κατειργασμένα) ***ἠμφιεσμένοι*** φορεῦντες ***ἐχώννυσαν***, ὡς μηκέτι βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι.

Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόν δε. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ***ἐμπλήσαντες*** δύο ἱστοὺς ἐπὶ τῇ πρῴρᾳ ***καταπηγνύασι*** καὶ ἐν κύκλῳ ***περιφραγνύασι*** (**κάμνουν φράχτη**) εἰς ὅσον μακρότατον

ὥστε φορυτὸν (πελεκούδια, ῥοκανίδια, ξερὰ χόρτα) τε ταύτῃ (**'ς αὐτὸ τὸ μέρος**) καὶ δᾶδας ὅσας πλείστας δέξασθαι· πρὸς δὲ πίσσαν τε καὶ θεῖον καὶ ὅσα ἄλλα εἰς τὸ παρακαλέσαι μεγάλην φλόγα ἐπὶ ταύτῃ ***ἐπέθεσαν***. Παρέτειναν δὲ καὶ **κεραίαν διπλῆν** ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλεν. Ἔρματά (**σαβοῦρα**) τε εἰς τὴν πρύμναν ***ἐνέθεσαν***, τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρῷραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. Ἔπειτα ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα ἐξάψαντες (προσδέσαντες) τριήρεσι τὴν ναῦν κατ' οὐρὰν (εἰς τὰ ὄπισθεν) εἵλκον. Ὡς δ' ἐπλησίαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ***ἐνθέντες*** εἰς τὴν ὕλην καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν ἐνσείουσιν ἄκρῳ τῷ χώματι (**ἔρριψαν με ὁρμὴν ἐπάνω εἰς τὸν μῶλο**). Καὶ ἐν τούτῳ ἥ τε φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις καὶ αἱ κεραῖαι ***περιαγεῖσαι*** (**ὀπάσασαι**) ἐξέχεαν εἰς τὸ πῦρ ὅσα εἰς ἕξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν.

ΑΣΚΗΣΙΣ 14.

Πολυδάμας ὁ Φαρσάλιος ἐζήτησε βοήθειαν παρὰ τῶν Λακεδαιμονίων ἐναντίον τοῦ τυράννου τῆς Θεσσαλίας Ἰάσονος. οἱ δὲ Λακεδαιμόνιοι ἀπεκρίναντο ὅτι

«Ἐν τῷ παρόντι οὐκ ἂν ***δύναιντο*** ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ' ***ἀπιόντα συντίθεσθαι*** (νὰ τακτοποιήσῃ) αὐτὸν ἐκέλευον ὅπῃ ***δύναιτο*** ἄριστα τά τε ἑαυτοῦ καὶ τὰ τῆς πόλεως. Κἀκεῖνος μέντοι ἐπαινέσας τὴν ἁπλότητα τῆς πολεως ***ἀπῆει***. Καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδεῖτο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὐτὸν ***παραδοῦναι***, ὅπως τοῖς ***παρακαθεμένοις*** (εἰς ἐκείνους, **'ποῦ τοῦ' τὴν ἐμπιστεύθηκαν**) διασώζῃ· τοὺς δ' ἑαυτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν καὶ **ταγὸν**[1] (ἡγεμόνα) ***συγκαταστήσειν*** αὐτόν. Ὡς δὲ τὰ

1. **Ταγὸς** ἦτο κυρίως ἐπώνυμον τοῦ ἄρχοντος τῆς Θεσσαλίας.

πιστὰ ***ἔδωσαν*** ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θετταλῶν ***καθεστήκει***.

ΑΣΚΗΣΙΣ 15.

Παράδοσις τοῦ λιμένος τοῦ Σικυῶνος εἰς τοὺς Λακεδαιμονίους.

Λίνεας Συμφάλιος, στρατηγὸς τῶν Ἀρκάδων γεγενημένος, ***ἀναβὰς*** σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν τοῦ Σικυῶνος συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ***ὄντων*** τοὺς κρατίστους καὶ τοὺς ἄνευ δόγματος (κοινῆς ἀποφάσεως) ἐκπεπτωκότας (ἐξορισθέντας) μετεπέμψατο. Φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων, ὁ Σικυῶνος ἄρχων, καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου διὰ τούτου ***παραδίδωσι*** τὸν λιμένα τοῖς Λακεδαιμονίοις λέγων, ὡς αὐτοῖς διατελοίη πιστὸς ὤν· ὅτε γὰρ ψῆφος ***ἐδίδοτο*** ἐν τῇ πόλει, εἰ δοκοίη ***ἀφίστασθαι***, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη· ἔπειτα δὲ τοὺς ***προδόντας*** ἑαυτὸν βουλόμενος τιμωρήσασθαι δῆμον (δημοκρατίαν) ***καταστῆσαι***. Καὶ νῦν, ***ἔφη***, φεύγουσιν (ἐξωρίσθησαν) ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς ***προδιδόντες***. Εἰ μὲν οὖν ***ἐδυνάσθην*** ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ***ἀπέστην***· νῦν δέ, οὗ ἐγκρατὴς ***εἰμί*** (ἐκεῖνο, **'ποῦ ἔχω 'ς τὸ χέρι μου**), τὸν λιμένα ***παραδέδωκα*** ὑμῖν.

ΑΣΚΗΣΙΣ 16.

Πάντα οἱ θεοὶ δίδουσιν εἰς τοὺς ἀνθρώπους ἀντὶ πόνου καὶ ἐπιμελείας.

Τῶν ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ ***διδόασιν*** ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ὅλως ***εἶναί*** σοι ***βούλει***, ***θεραπευτέον*** τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους ***εὐεργετητέον***, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ***ὠφελητέον***, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα ***πειρατέον*** εὖ ποιεῖν, εἴτε γῆν ***βούλει*** σοι καρποὺς

SISMANOGLIO MEGARO

ἀφθόνους φέρειν, τὴν γῆν **θεραπευτέον**, εἴτε ἀπὸ βοσκημάτων **οἴει δεῖν** πλουτίζεσθαι, τῶν βοσκημάτων **ἐπιμελητέον**, εἴτε διὰ πολέμου ὁρμᾶς αὔξεσθαι καὶ βούλει **δύνασθαι** τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν **ἐπισταμένων μαθητέον** καὶ ὅπως αὐταῖς **δεῖ χρῆσθαι ἀσκητέον**· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν **ἐθιστέον** τὸ σῶμα καὶ **γυμναστέον** σὺν πόνοις καὶ ἱδρῶτι

ΑΣΚΗΣΙΣ 17[1].

Πατρίδος ἐγκώμιον.

Ὅτι μὲν οὐδὲν γλύκιον τῆς πατρίδος **φθάνει** προτεθρυλημένον εἶναι πρὸ πολλοῦ πασίγνωστον **παλαιὰ δουλειά**. Ἆρ' οὖν ἥδιον μὲν οὐδέν, σεμνότερον δὲ καὶ θειότερον ἄλλο; Καὶ μὴν ὅσα σεμνὰ καὶ θεῖα νομίζουσιν ἄνθρωποι, τούτων πατρὶς αἰτία καὶ διδάσκαλος γεννησαμένη καὶ ἀναθρεψαμένη καὶ παιδευσαμένη. Πόλεων μὲν οὖν μεγέθη καὶ λαμπρότητας καὶ πολυτελείας θαυμάζουσι πολλοί, πατρίδας δὲ στέργουσι πάντες.

Ὅστις μὲν οὖν σεμνύνεται (**περιφανεύεται**) πολίτης ὢν εὐδαίμονος πόλεως, ἀγνοεῖν μοι **δοκεῖ** τίνα **χρὴ** τιμὴν **ἀπονέμειν** τῇ πατρίδι, καὶ ὁ τοιοῦτος δῆλός ἐστιν **ἀχθόμενος** ἄν, εἰ μετριωτέρας **ἔλαχε** τῆς πατρίδος. Ἐμοὶ δὲ ἥδιον αὐτὸ τιμᾶν τὸ τῆς πατρίδος ὄνομα. Τῷ μὲν γὰρ πειρωμένῳ πόλεις **παραβαλεῖν προσήκει** μέγεθος ἐξετάζειν καὶ κάλλος καὶ τὴν τῶν οἰνίων (**ψουνιῶν**) ἀφθονίαν· ὅπου δ' αἵρεσίς ἐστι (**πρόκειται νὰ ἐκλέξῃ τις**) πόλεων, οὐδεὶς ἂν **ἕλοιτο** τὴν λαμπροτέραν **ἐάσας** τὴν πατρίδα, ἀλλ' εὔξαιτο μὲν ἂν εἶναι καὶ τὴν πατρίδα ταῖς εὐδαίμοσι παραπλησίαν, **ἕλοιτο** δ' ἂν τὴν ὁποιανοῦν (**ὅποια τὸν ἔλαχε**).

Πατρίδος τοίνυν τὸ ὄνομα πρῶτον καὶ οἰκειότατον πάντων. Εἰ δέ τις **ἀπονέμει** τῷ πατρὶ τὴν δικαίαν τιμήν, ὥσπερ καὶ ὁ

1. Ἐν ταύτῃ τῇ ἀσκήσει θὰ ἐπαναληφθῶσι τὰ ῥήματα τὰ παρουσιάζοντα ἀνωμαλίαν τινὰ καὶ τὰ ἀπρόσωπα.

νόμος καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν καὶ τὴν πατρίδα προτιμήσαι· καὶ γὰρ ὁ πατὴρ αὐτὸς τῆς πατρίδος κτῆμα καὶ ὁ τοῦ πατρὸς πατὴρ καὶ οἱ ἐκ τούτων οἰκεῖοι πάντες ἀνωτέρω (**πάππον πρὸς πάππο**), καὶ μέχρι θεῶν πατρῴων **πρόεισιν ἀναβιβαζόμενον** τὸ ὄνομα. **Χαίρουσι** καὶ θεοὶ πατρίσι καὶ πάντα μέν, ὡς **εἰκός**, **ἐφορῶσι** τὰ τῶν ἀνθρώπων αὐτῶν ἡγούμενοι πᾶσαν γῆν καὶ θάλατταν, ἐφ' ἧς δὲ ἕκαστος αὐτῶν **ἐγένετο**, προτιμᾷ τῶν ἄλλων ἁπασῶν πόλεων. Καὶ πόλεις σεμνότεραι θεῶν πατρίδες καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνεῖται γένεσις θεῶν. Εἰ δὲ θεοῖς τίμιον τὸ τῆς πατρίδος ὄνομα, πῶς οὐχ ἀνθρώποις γε πολλῷ μᾶλλον; Καὶ γὰρ **εἶδε** τὸν ἥλιον πρῶτον ἕκαστος ἀπὸ τῆς πατρίδος· καὶ φωνῆς ἐνταῦθα ἤρξατο ἐπιχώρια πρῶτα λαλεῖν **μανθάνων** καὶ θεοὺς ἐγνώρισεν. Εἰ δέ τις τοιαύτης **ἔλαχε** πατρίδος, ὡς ἑτέρας **δεηθῆναι** πρὸς τὴν τῶν μειζόνων παιδείαν, ἀλλ' οὖν **ἐχέτω** καὶ τούτων τῶν παιδευμάτων τῇ πατρίδι τὴν χάριν· οὐ γὰρ ἂν ἐγνώρισεν οὐδὲ πόλεως ὄνομα μὴ διὰ τὴν πατρίδα πόλιν εἶναι **μαθών**.

Πάντα δέ, **οἶμαι**, παιδεύματα καὶ μαθήματα **συλλέγουσιν** ἄνθρωποι χρησιμωτέρους ἑαυτοὺς ἀπὸ τούτων ταῖς πατρίσι παρασκευάζοντες· **κτῶνται** δὲ καὶ χρήματα φιλοτιμίας ἕνεκα τῆς εἰς τὰ κοινὰ τῆς πατρίδος δαπανήματα· καὶ εἰκότως, **οἶμαι**· **δεῖ** γὰρ οὐκ ἀχαρίστους εἶναι τοὺς τῶν μεγίστων **τυχόντας** εὐεργεσιῶν. Ἀλλ' εἰ τοῖς καθ' ἕνα (εἰς τὸν **κάθε ἕνα**) τις **ἀπονέμει** χάριν, ἐπειδὰν εὖ **πάθῃ** (**εὐεργετηθῇ**) πρός τινος, πολὺ μᾶλλον **προσήκει** τὴν πατρίδα τοῖς **καθήκουσιν** ἀμείβεσθαι.

Οὐδεὶς δὲ οὕτως ἀμνήμων τῆς πατρίδος **ἐγένετο**, ὥστε ἐν ἄλλῃ πόλει **γενόμενος** ἀμελεῖν, ἀλλ οἵ τε κακοπραγοῦντες, ἐν ταῖς ἀποδημίαις συνεχῶς **ἀνακαλοῦσιν** ὡς μέγιστον τῶν ἀγαθῶν ἡ πατρίς, οἵ τε εὐδαιμονοῦντες, ἂν καὶ τὰ ἄλλα εὖ πράττωσι (εὐτυχῶσι), τοῦτο γοῦν αὐτοῖς μέγιστον **ἐνδεῖν** (ἐλλείπειν) νομίζουσι τὸ μὴ τὴν πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν· ὄνειδος γὰρ τὸ τῆς ξενιτείας. Καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημίας χρόνον λαμπροὺς **γενομένους** ἢ διὰ χρημάτων κτῆσιν ἢ διὰ τιμῆς δόξαν ἢ διὰ παιδείας μαρτυρίαν ἢ δι' ἀνδρείας ἔπαινον **ἔστιν ἰδεῖν** εἰς τὴν πατρίδα πάντας ἐπειγομένους

SISMANOGLIO MEGARO

(σπεύδοντας), ὡς οὐκ ἂν ἄλλοις βελτίοσιν ἐπιδειξομένους τὰ ἑαυτῶν καλά.

Ποθεινὴ μὲν οὖν καὶ νέοις πατρίς· τοῖς δὲ ἤδη *γεγηρακόσιν* ὅσῳ πλεῖον τοῦ φρονεῖν ἢ τοῖς νέοις *μέτεστι* (ὅσον περισσότερον φρόνιμοι εἶναι ἀπὸ τοὺς νέους), τοσούτῳ πλείων *ἐγγίγνεται* πόθος τῆς πατρίδος· ἕκαστος γοῦν τῶν *γεγηρακότων* καὶ σπεύδει καὶ *εὔχεται* καταλῦσαι τὸν βίον ἐπὶ τῆς πατρίδος, ἵν' ὅθεν ἤρξατο *βιοῦν*, ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακατάθηται τῇ γῇ τῇ θρεψαμένῃ καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων· δεινὸν γὰρ ἑκάστῳ *δοκεῖ ξενίας ἁλίσκεσθαι* (νὰ κατηγορῆται ὡς ξένος) καὶ μετὰ θάνατον, ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ.

Καὶ σπεύδει τις εἰς τὴν πατρίδα, κἂν νησιώτης ᾖ· κἂν παρ' ἄλλοις εὐδαιμονεῖν *δύνηται*, καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται (δὲν θὰ παραδεχθῇ), προτιμῶν τὸν ἐπὶ τῆς πατρίδος τάφον· καὶ ὁ τῆς πατρίδος αὐτῷ καπνὸς λαμπρότερος *ὀφθήσεται* τοῦ παρ' ἄλλοις πυρός.

Οὕτω δ' ἄρα τίμιον εἶναι *δοκεῖ* παρὰ πᾶσιν ἡ πατρίς, ὥστε καὶ τοὺς ἀπανταχοῦ νομοθέτας *ἔδοι* τις ἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν ὡς χαλεπωτάτην *ἐπιβεβληκότας* τὴν φυγὴν (ἐξορίαν) τιμωρίαν. Καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως *ἔχουσιν*, οἱ δὲ πιστευόμενοι ταῖς στρατηγίαις ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παραγγελμάτων τοῖς παρατattομένοις, ὡς **ὑπὲρ πατρίδος αὐτοί· ὁ πόλεμος**· καὶ οὐδεὶς ὅστις ἂν *ἀκούσας* τούτου κακὸς εἶναι θέλῃ· ποιεῖ γὰρ καὶ τὸν δειλὸν *ἀνδρεῖον* **τὸ τῆς πατρίδος ὄνομα.**

ΣΙΣΜΑΝΟΓΛΕΙΟ ΜΕΓΑΡΟ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΜΕΓΑΛΟΥ ΟΙΚΟΝΟΜΟΥ ΚΑΙ ΜΕΤΟΧΙΟΥ ΣΑΚΚΟΥΛΙΔΟΥ ΤΕΛΟΣ 1942

SISMANOGLIO
MEGARO

SISMANCGLIO